Symposium Sive Convivium Decem Virginum (Greek)

Methodius of Olympus (d. c. AD 311)

SermonIndex.net / Church Fathers

Contents

Book praef **1**

Book 1: Λόγος α΄. Μάρκελλα **4**

Book 2: Λόγος β΄. Θεοφίλα **8**

Book 3: Λόγος γ΄. Θάλεια **13**

Book 4: Λόγος δ΄. θεοπάτρα **22**

Book 5: Λόγος έ. Θάλλουσα **26**

Book 6: Λόγος ς΄. Ἀγάθη **32**

Book 7: Λόγος ζ΄. Πρόκιλλα **36**

Book 8: Λόγος η΄. Θέκλα **41**

Book 9: Λόγος θ΄. Τυσιανή **55**

Book 10: Λόγος ί. Δομνίνα **61**

Book 11: Ἀρετῆς λόγος. XI **66**

Book praef

ΕΥΒΟΥΛΙΟΝ. Εὐκαιρότατα ἐπέστης, ὠ Γρηγόριον· ἔναγχός σε ἐζήτουν, βουλομένη μαθεῖν τὴν Μαρκέλλης συνουσίαν Θεοπάτρας καὶ τῶν λοιπῶν παρθένων τῶν τότε ἐν τῷ συνδείπνῳ παραγενομένων, περὶ τῶν τῆς ἁγνείας λόγων, τίνες ἠσαν. φασὶ γὰρ σφόδρα μεγαλοπρεπῶς οὕτως αὐτὰς καὶ ἰσχυρῶς ἠγωνίσθαι, ὡς μηδενὸς εἶναι τῶν εἰς τὸ προκείμενον ἀναγκαίων ἐπιδεεῖς. εἰ οὖν ἑτέρου τινὸς ἕνεκα ἠλθες, τοῦτο εἰσαῦθις ἀναβαλλομένη μὴ ὀκνήσῃς νῦν ὧν πυνθανόμεθά σου ἀκολούθως ἡμῖν ἅπαντα διελθεῖν.

ΓΡΗΓΟΡΙΟΝ Ἥμβροτον, ὡς ἔοικε, τῆς ἐλπίδος, ἤδη περὶ ὧν ἐρωτᾷς. ἐγὼ γὰρ μηδέπω μηδὲν ἀκηκοέναι νομίσασά σε τῶν γεγονότων σφόδρα μέγα ἐφρόνουν ἐπὶ τούτῳ καὶ ἐκαλλωπιζόμην ὡς πρώτη σοι μέλλουσα ἐξαγγέλλειν. διὸ δὴ καὶ ἐσπούδαζον τάχιον δεῦρο ἐλθεῖν πρὸς ὑμᾶς, αὐτό δὴ τοῦτο τὸ μὴ προληφθῆναι ὑπὸ ἄλλου.

ΕΥΒΟΥΛ. Θάρσει· καὶ γὰρ οὐδὲν ἀκριβῶς, ὦ μακαρία. τῶν γεγονότων. οὐ γὰρ ἔσχεν ὁ ἀναγγείλας ἀφηγήσασθαι πλέον ἢ ὅτι διάλογοι γεγένηντο· τίνες δὲ καὶ ὅπως, ἐπανερωτώμενος ηγνοει.
ΓΡΗΓΟΡ. Οὐκοῦν βούλεσθε, ἐπειδὴ δι’ αὐτὸ ἐνταῦθα παρεγενόμην, ἁπάντων ἐξ ἀρχῆς ἐπακοῦσαι τῶν εἰρημένων; ἢ τὰ μὶν παραλείψω, τῶν δὲ ἐπιμηνσθῶ, ἅ καὶ ἀξιονημόνευτα ἡγοῦμαι τυγχάνειν;
ΕΥΒΟΥΛ. Οὔπω πάντως· ἀλλ’ ἐξ ἀρχῆς ἡμῖν, ὦ Γρηγόριο·. πρῶτον εἰσήγησαι τήν τε συνέλευσιν ἔνθα ἐγενήθη καὶ τῶν ἐδεσμάτων τὰς παρασκευάς, σεαυτήν τε πῶς ὠνοχόησας·
αἱ δὲ χρυσέοις δεπάεσσιν
δειδέχατ’ ἀλλήλας μέγαν οὐρανὸν εἰσορόωσαι.

ΓΡΗΓΟΡ. Ἀεὶ δεινὸς ἐν ταῖς ὁμιλίαις καὶ φιλοπευστῶν, ὠ σφόδρα τυγχάνεις, ἅπαντας ἀτεχνῶς ἐξελέγχων.

ΕΥΒΟΥΛ. Οὐκ ἄξιον περὶ τούτων, ὠ Γρηγόριον, νῦν σε φιλονεικεῖν· ἀλλ’, ὅπερ ἐδεόμεθά σου, διήγησαι, ἡμῖν τὰ γεγονότα ἐξ ἀρχῆς καὶ μὴ ἄλλως ποίει.

ΓΡΗΓΟΡ. Ἐγὼ δὴ πειράσομαι. πρῶτον δέ μοι αὐτὴ ἀπόκριναι· γινώσκεις δήπου τὴν Θυγατέρα Θο΄πσπφίας Ἀρετήν;

ΕΥΒΟΥΛ. Τί οὐν;

ΓΡΗΓΟΡ. Ταύτης εἰς τὸν κῆπον κληθεῖσαι τὸν κατ' ἀνατολὰς ἀποκαρπεύσασθαι τῶν ὡραίων, ἐπορευόμεθα ἐγώ τε ἔφη μοι ἡ Θεοπάτρα· αὐτῆς γὰρ ἐπυνθανόμην) καὶ ἡ Πρόκιλλα καὶ ἡ Τυσιανή. ὡς τραχεῖαν καὶ δύσβατον ὡδεύσαμεν, ὠ Γρηγόριον, καὶ ἀνάντη τρίβον. ἐπειδὴ οὖν ἠγγίζομεν, ἡ Θεοπάτρα, ἤδη, ἔφη, τῷ χωρίῳ, μεγάλη τις καὶ εὐειδὴς ἡσυχῆ βαίνουσα καὶ εὐσχημόνως ὑπήντησεν ἡμῖν γυνή, στολὴν πάνυ ἔκλαμπρον ὥσπερ ἀπὸ χιόνος ἠμφιεσμένη· θεῖον δέ τι καὶ ἀμήχανον Μῶς ἅπασα κάλλος ἦν· αἰδὼς αἰδὼς αὐτῇ τῷ προσώπῳ πολλὴ μετὰ σεμνότητος ἐπήνθει, τό τε βλέμμα βλοσυρὸν μετὰ πραότητος ἱλαρῶς οὕτω κεκερασμένον οὐκ οὐκ ἴφη, ποτὲ θεασαμένη· πάντα γὰρ ἀκαλλώπιστος ἦν καὶ νόθον ἔφερεν οὐδέν. αὕτη οὐν προσελθοῦσα μετὰ πολλῆς χαρᾶς ἑκάστην ἡμῶν μήτηρ ὥσπερ διὰ πολλοῦ θεασαμένη περιεπτύσσετο καὶ κατεφίλει, θυγατέρες, σφόδρα μοι ποθούσῃ, λέγουσα, εἰς τὸν λειμῶνα τῆς ἀφθαρσίας ὑμᾶς εἰσαγαγεῖν, μόλις ἐληλύθατε, κατὰ τὴν ὁδὸν ἴσως ὑμᾶς ἐκφοβησάντων ἑρπετῶν. ἑώρων γὰρ ἀποσκοπεύουσα πολλάκις ἐκτρεπομένας, καὶ ἐδεδίειν μή πως ἀποπηδήσασαι κατολισθήητε διὰ κρημνῶν. ἀλλὰ χάρις ᾧ ἡρμοσάμην ὑμᾶς, ὠ τέκνα, νυμφίῳ, ἐπινεύσαντι πάντα τελεσιουργὰρ ταῖς εὐχαῖς. καὶ ἅμα ταῦτα λεγούσης εἰς τὸν περίβολον, ἔφη, φθάνομεν, ἀνεῳγμένων ἔτι τῶν θυρῶν, εἰσελθοῦσαί τε καταλαμβάνομεν ἤδη τὴν Θέκλαν καὶ τὴν Ἀγάθην καὶ τὴν Μάρκελλαν μελλούσας δειπνεῖν. εὐθέως οὖν τὴν Ἀρετὴν ἴφη φάναι· Δεῦτε δὴ καὶ ὑμεῖς παρὰ τὰς ὁμοτρόπους ὑμῖν ταυτασὶ ἐφεξῆς ἐνθάδε κατακλιθῆναι. ἦμεν ἡμεν ὡς οἶμαι, πᾶσαι τὸν ἀριθμὸν ἑκεῖ δαιτυμόνες, ἔφη μοι, δέκα. ἠν δὲ τὸ χωρίον περικαλλὲς ὑπερφυῶς καὶ πολλῆς ἀναπαύσεως πεπληρωμένον. ἀὴρ μὲν γὰρ ἐκέχυτο καθαραῖς φωτὸς βολαῖς ἀνακεκερασμένος κούφως μετὰ πολλῆς εὐταξίας, καὶ πηγὴ κατὰ τὸ μεσαίτατον ἡσύχως ἐλαίου δίκην ἀνέβρυε γλυκύτατον πόμα, αφ' ἧς ὕδωρ διειδὲς καὶ καθαρὸν δέον ἐποίει κρήνας αἱ ποταμηδὸν ὑπερχεόμεναι ἐπότιζον ἅπαντα τὸν χῶρον, πλούσια παρέχουσαι νάματα. δένδρα γὰρ ἠν διάφορα νεαραῖς ὀπώραις πληθύνοντα ἐκεῖ, εἰς ἐν κάλλος τῶν καρπῶν ἀπαιωρουμένων ἱλαρῶς, καὶ λειμῶνες ἀειθαλεῖς, ἐμπνόοις ἄνθεσι καὶ ποικίλοις κατεστεμμένοι, ἀφ' ὧν προσέβαλεν ἔβαλεν ἠπίως πνεῦμα πολλὴν εὐωδίαν φέρον. ἠν γὰρ ἐγγὺς ἄγνος δένδρον ὑψηλόν, ὑφ' ᾧ ἀνεπαυόμεθα διὰ τὸ λίαν ἀμφιλαφὲς αὐτὸ καὶ σύσκιον τυγχάνειν.

ΕΓΒΟΓΛ. Δεύτερον δοκεῖς μοι καταγώγιον, ὠ μακαρία, τοῦ παραδείσου χρησμῳδεῖν.

ΓΡΗΓΟΡ Ἀληθῆ προμηθεῖ. ὡς οὖν δαιτός τε παντοδαπῆς ἤδη καὶ εὐφροσύνης ποικίλης ἐτυγχάνομεν, ὡς μηδενὸς εἶναι τῶν τερπνῶν ἐπιδεεῖς, ἔφη τὸ μετὰ ταῦτα εἰσελθοῦσαν εἰσηγήσασθαι τὴν Ἀρετὴν τάδε· Ὦ νεάνιδες, ἐμῆς αὐχήματα μαγαλοφροσύνης, ᾧ καλλιπάρθενοι τοὺς ἀνηρότους Χριστοῦ γεωργοῦσαι λειμῶνας ἀνυμφεύτοις χερσί, τροφῆς μὲν ἄλις ἤδη καὶ εὐωχίας· πάντα γὰρ πλήρη καὶ τὰ παρ' ἡμῶν. τί οὖν ἐστιν, ὃ θέλω λοιπὸν ἤδη, καὶ τί προσδοκῶ;

λόγον ἑκάστην ὑμῶν ἐγκωμιαστικὸν περὶ παρθενίας εἰπεῖν. καταρχέτω δὲ Μάρεκλλα, ἐπειδὴ καὶ πρώτη ἀνάκειται καὶ ἔστιν ἅμα πρεσβυτέρα. τὴν μέντοι καλῶς ἀγωνισαμένην, αἰσχυνοίμην ἂν ἐμαυτήν, ἐὰν μὴ ποιήσαιμι ζηλωτήν, τοῖς ἀμιάντοις τῆς σοφίας ἀναδήσασα πετάλοις.

Book 1: Λόγος α΄. Μάρκελλα

Τὴν μὲν οὖν Μάρκελλαν ἐντεῦθεν, ὡς οἶμαι, ἀρξαμένην εὐθέως ἔλεγεν εἰπεῖν ὅτι Μεγάλη τίς ἐστιν ὑπερφυῶς καὶ θαυμαστὴ καὶ ἓν δοξος ἡ παρθενία, καὶ εἰ χρὴ φανερῶς εἰπεῖν ἐπομένην ταῖς γραφαῖς, τὸ οὖθαρ τῆς ἐκκλησίας καὶ τὸ ἄνθος καὶ ἡ ἀπαρχὴ αὐτῆς τοῦτο τὸ ἄριστον καὶ κάλλιστον ἐπιτήδευμα μόνον τυγχάνει. καὶ διὰ τοῦτο καὶ ὁ κύριος εἰς τὴν βασιλείαν εἰσελάσαι τῶν οὐρανῶν τοὺς ἀποπαρθενεύσαντας ἐκείνους σφᾶς αὐτοὺς ἐπαγγέλλεται, ἔνθα περὶ διαφορᾶς εὐνουχισμῶν ἐν εὐαγγελίοις παρεγγυᾷ. σπάνιον γὰρ πάνυ καὶ δυσεπίτευκτον ἀνθρώποις ἁγνεία, καὶ ὅσῳ κορυφαιότατον καὶ μεγαλοπρεπές, τοσούτῳ καὶ τοὺς κινδύνους μείζονας ἔχον. δεῖται οὐν ἐρρωμένων καὶ γενναίων φύσεων, οἵτινες ἀθρόως τὸ ῥεῦμα μετοχετεύσασαι τῆς ἡδυπαθείας ἄνω μετέωρον ἀπευθύνουσι τὸ ὄχημα τῆς ψυχῆς, ἀπολήγουσαι τοῦ σκοποῦ, ἔστ᾽ ἂν ὑπερπηδήσασαι κούφως τὸν κόσμον ὀξυτάτῳ διανοίας τάχει, καὶ ἐπὶ τὴν οὐρανίαν ἀληθῶς ἀψῖδα σταθεῖσαι, αὐτὴν εἰλικρινῶς θεάσωνται τὴν ἀφθαρσίαν, ἀπὸ τῶν ἀμιάντων τοῦ παντοκράτορος ἀναπηδῶσαν κόλπων. τοῦτο τὸ πόμα γεννᾶν οὐκ ἐχώρησε γῆ· μόνος αὐτὸ πηγάζειν οἶδεν ὁ οὐρανός. παρθενίαν γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἠγτέον· ἧς δὴ ἐφιέμενοι καὶ πρὸς μόνον τὸ τέλος αὐτῆς ἀφορῶντές τινες. ἀνίπτοις ποσὶν ἀτελεῖς ὑπὸ βαναυσίας πρεσελθόντες, ἐκ μέσης ἀνεκαμψαν τῆς ὁδοῦ, οὐδὲν ἄξιον φρόνημα τοῦ ἐπιτηδεύματος ἐπανῃρημένοι. οὐ γὰρ μόνον ἄφθορα τὰ σώματα τηρεῖσθαι δεῖ, ὥσπερ οὐδὲ τοὺς ναοὺς κρείττονας ἀποφαίνεσθαι τῶν ἀγαλμάτων, ἀλλὰ τὰς ψυχὰς ἀγάλματα τῶν σωμάτων οὐσας θεραπεύεσθαι χρὴ κοσμουμένας δικαιοσύνῃ. θεραπεύονται δὲ καὶ ἀποσμήχονται τότε μπαλλον, ὁπόταν ἀόκνως κατακούειν τῶν θείων ἀμιλλώμεναι λόγων μὴ ἀπολήγωσι πρὶν αὐτοῦ ἐφάψασθαι ὃ ἐστιν ἀληθέσ, ἐπὶ σοφῶν ἀφικνούμεναι θύρας. ὣσπερ γὰρ ἅλατι τῶν κρεῶν οἱ ἰχῶρες ἐκτήκονται καὶ αἱ σηπεδόνες καὶ πάντα τὰ φθοροποιά, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς παρθένου αἱ ἄλογοι πᾶσαι τοῖς μαθήμασιν ἀποστύφονται τοῦ σώματος ἐπιθυμίαι. ἀνάγκη γὰρ τὴν μὴ πασσομένην δίκην ἅλατος τοῦ Χριστοῦ ταῖς φωναῖς ψυχὴν ἑπόζειν καὶ σκώληκας ποιεῖν, ὥσπερ ἀμέλει »ἐπώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου« μετὰ δακρύων ἐξομολογούμενος ὁ Δαυὶδ ἐν τοῖς ὄρεσιν ἔκραζεν ὁ βασιλεύς, ὅτι μὴ ἀπέστυψεν ἁλίσας τοῖς σωφρονισμοῖς ἑαυτόν, ἀλλὰ ῥᾳθυμήσας εἰς οἶστρον ὑπεσύρη καὶ ἐξώζεσε μοιχείαν. ταύτῃ πᾶν δῶρον ἐν τῷ Λευϊτικῷ, ἐὰν μὴ πρῶτον ἅλατι ἁλισθῇ,

ἀπαγορεύεται εἰς ὁλοκάρπωμα προσφέρεσθαι κυρίῳ τῷ θεῷ. ἄλας γὰρ ἡμῖν τὸ δηκτικὸν <καὶ> πρὸς ὠφέλειαν ἀποστῦφον πνευματικὴ πᾶσα τῶν γραφῶν ἐδόθη μελέτη, ἡς δὴ χωρὶς ἀδύνατον τῷ παντοκράτορι διὰ τοῦ λόγου προσενεχθῆναι ψυχήν· »ὑμεῖς« γάρ ἐστε τὸ ἅλας τῆς γῆς« ὁ κύριος τοῖς ἀποστόλοις ἔφη. χρὴ οὐν τὴν παρθένον ἀεὶ τῶν καλῶν ἐρᾶν καὶ τοῖς πρωτεύουσιν εἰς σοφίαν ἐμπρέπειν, καὶ μηδὲν ῥᾴθυμον μηδὲ μαλθακὸν ἔχειν, ἀλλὰ καὶ ἄξια τῆς παρθενίας φρονεῖν, ἀποσμήχουσαν τῷ λόγῳ τοὺς ἀεὶ τῆς ἡδυπαθείας, μή πως λαθοῦσα βραχεῖα σηπεδὼν γεννήσῃ τὸν σκώληκα τῆς ἀκολασίας· »ἡ« γάρ »ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι«, ὁ μακάριος Παῦλος. πολλαὶ δὲ πάρεργον ἡγούμεναι τὴν ἀΚρόασιν νομίζουσι χαρίζεσθαι μεγάλα, ἐὰν κἂν τὸ βραχὺ παράσχωσι τὰς ἀκοάς· ἃς ἐκκριτέον· μικρολόγῳ γὰρ φύσει καὶ ταπεινῇ καὶ ἐπιμορφαζομένῃ σοφίαν οὐ χρὴ μαθημάτων θείων κοινωνεῖν. ἢ γὰρ οὐ γελοῖον ἐκείναις ἀδολεσχεῖν, αἵτινες ἐπὶ μὲν τοῖς μικροῦ ἀξίοις πάντα ποιεῖν συντείνονται, ὅτως ἀκριβέστατα ἔξουσι τὰ τελεσιουργούμενα, ἐπὶ δὲ τῶν ἀναγκαίων, δι᾽ ὧν μᾶλλον αὐτὸς ὁ τῆς σωφροσύνης ἔρως αἴυξεται, μὴ μεγίστας ἡγεῖσθαι τὰς ἀκριβείας;

Μεγάλῃ γὰρ ἀληθῶς ὑπερβολῇ τὸ τῆς παρθενίας ἀνθρώποις ἀπ᾽ οὐρανῶν κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐχ ἁπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ ἀνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν εἰς πλῆθος πρῶτον αὐτὸν αὐξήσαντα τελειωθῆναι. διὸ δὴ καὶ τὰς σφετέρας ἀδελφὰς οἱ παλαιοὶ λαμβάνοντες γυναῖκας οὐδὲν ἠσχημόνουν, μέχρι νόμος ἐλθὼν διεστείλατο καί τὸ πρότερον δοκοῦν εἶναι καλὸν ἀπαγορεύσας ἁμαρτίαν ἀπεφήνατο, » ἐπικατάρατον. « καλῶν »τὸν ἀποκαλύπτοντα τὴν ἀσχημοσύνην τῆς ἀδελφῆς αὐτοῦ«, τοῦ θεοῦ κατὰ καιρὸν καὶ καιρὸν τὴν ἁρμόζουσαν ἡμῶν τῷ γένει σπουδαίως προσφέροντος φέροντος ὡσπερ δὴ καὶ οἱ πατέρες τοῖς υἱοῖς. οὐ γὰρ εὐθέως ἄνωθεν ἐπιστατοῦσι τοὺς παιδαγωγούς, ἀλλὰ τὴν παιδικὴν ἡλικίαν ἐάσαντες ἀθύρεσθαι μοσχαρίων δίκην, πρῶτον εἰς διδασκάλων συμψελλιζόντων ἀποστέλλουσιν, ἔστ᾽ ἂν ἀποβαλόντες τὴν μειρακιώδη τρίχα τοῦ νοῦ εἰς τὴν τῶν μειζόνων μαθημάτων ἄσκησιν παραπεμφθῶσι κἀκεῖθεν αὐθις εἰς τὴν τῶν ἔτι μειζόνων. ταύτῃ γὰρ καὶ θεὸν καὶ πατέρα τῶν ὅλων ἡγητέον προσηνέχθαι τοῖς πρὸ ἡμῶν. ἔτι γὰρ ὁ κόσμος ἀνθρώπων ἁπλήρωτος ὢν ὡς νήπιος ἦν, καὶ ἐχρῆν αὐτὸν εἰς πλῆθος πρότερον ἐκ τούτων ἀνδρωθέντα πληθυνθῆναι. ἀλλ᾽ ὅτε λοιπὸν ἀπὸ περάτων ἐπὶ πέρατα κατῳκίσθη, τῆς εἰς ἄπειρον κεχυμένης, οὐκέτι τοῖς αὐτοῖς ἐπιμένειν τὸν ἄνθρωπον ἐπέτρεπεν ὁ θεός, σκοπῶν ὅπως ἀπὸ τῶνδε εἰς μεταβαίνοντες πλησιαίτερον προκόπτωσιν ἔρχεσθαι τῶν μέχρις ἂν εἰς αὐτὸ τὸ μέγιστον μάθημα καὶ κορυφαιότατον τὴν παρθενίαν φθάσαντες τελειωθῶσιν, ἀπὸ τῆς ἀδελφομιξίας ὁδεύσαντες πρῶτον εἰς τὸ ὀθνείας ἐπάγεσθαι γαμετάς, κἀκεῖθεν εἰς τὸ μηκέτι πολλαῖς ἐπιβαίνειν τετράποδος νόμῳ, καθάπερ εἰς ὀχείαν γεγονότας, κἀντεῦθεν εἰς τὸ μὴ μοιχοὺς γεγονέναι, καὶ av πάλιν εἰς σωφροσύνην, καὶ ἀπὸ σωφροσύνης εἰς παρθενίαν, ἔνθα μελετήσαντες τῆς σαρκὸς ὑπερφρονεῖν εἰς τὸν τῆς ἀφθαρσίας εὐδιον ἀφόβως ὁρμίζονται χῶρον.

Εἰ δέ τις ὡς ἀμάρτυρον τῶν γραφῶν αἰτιάσασθαι τολμήσει τὸν λόγον, φέρε δὴ παραθέντες καὶ τὰ τῶν προφητῶν ἀληθέστερα μᾶλλον ἀποδείξωμεν τὰ προειρημένα. ὁ γοῦν Ἀβραὰμ πρῶτος ἐν διδαθήκῃ τὴν περιτομὴν λαβὼν οὐδὲν ἕτερον αἰνίσσεσθαι δοκεῖ, τὸ περιτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος, ἢ τοῦτο, τὸ μηκέτι εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν ἀπὸ τῆς ἰδίας ἕκαστον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν κατὰ συνουσίαν ἡδονήν. ὥστε τὸ πλησιάζειν καὶ ὁμεύνοις χρῆσθαι ταῖς σφῶν ἀδελφαῖς ἀπὸ τῶν τοῦ Ἀβραὰμ πέπαυται καιρῶν· τὸ δὲ πλειόνων συναλλαγαῖς ἁρμόζεσθαι γυναικῶν ἀπὸ τῶν προφητικῶν ἀναιρεῖται χρόνων. »ὀπίσω« γάρ »τῶν ἐπιθυμιῶν σου« φησί »μὴ πορευθῇς καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου«· »οἶνος γὰρ καὶ γυναῖκες ἀποστήσουσι συνετούς«. καὶ ἐν ἑτέρῳ· »ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου«, δηλονότι παραιτούμενος ἤδη τὰς πολλάς. ὁ δὲ Ἱερεμίας »ἵππους θηλυμανεῖς« ἀναφανδὸν τοὺς εἰς διαφόρους μαργῶντας γυναῖικας καλεῖ· »πολύγονον« γάρ φησιν »ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάρος(ἀλλὰ γάρ, ἕνα μὴ μακρηγορπωμεν ἐπὶ πολὺ τὰς προφητικὰς ἀναλεγόμενοι φωνάς, φέρε δὴ συστήσωμεν πάλιν ὅπως διαδέχεται τὴν ἐπὶ μιᾷ γυναικὶ συναλλαγὴν ἡ σωφροσύνηι μέχρις ἂν ἐκλύσῃ τελείως τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν συνουσίαν καταφοράν, πρὸς ὀλίγον ἀφαιρουμένη τὰς τῆς σαρκὸς ἡδυπαθείας. αὐτίκα γοῦν εἰσάγεταί τις ἐμφανῶς ἤδη λοιπὸν παραιτούμενος τουτονὶ τὸν περισπασμόν, »κύριε« λέγων »πάτερ καὶ δέσποτα τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν· μετεωρισμὸν ὀφθαλμῶν ἄφελε ἀπ᾽ ἐμοῦ· καρδίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν λαβέτωσάν με«. καὶ ἐν τῇ παναρέτῳ δὲ Σοφίᾳ γυμνῶς ἤδη τοὺς ἀκροατὰς εἰς ἐγκράτειαν ἐφελκόμενον καὶ σωφροσύνην τὸ πνεῦμα τὸ ἅγιον τοιαῦτα μελῳδεῖ, »κρεῖσσον ἀτεκνία μετ᾽ ἀρετῆς« κεκραγός· »ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ θεῷ καὶ παρὰ ἀνθρώποις, παροῦσάν τε τιμῶσιν αὐτὴν καὶ ποθοῦσιν ἀπελθοῦσαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα«.

Περὶ μὲν οὖν τῶν καιρῶν τῆς ἀνθρωπότητος, ὅπως ἀρξαμένη ἀπὸ τῆς ἀδελφομιξίας ὤδευσεν ἐπὶ τὴν ἐγκράτειαν, εἴρηται· τῆς παρθενίας λίπεται. ὅσον οὖν δυνατόν, πειρατέον φράσαι. πρῶτον ἐξεταστέον, δι᾽ ἣν αἰτίαν πολλῶν προφητῶν καὶ δικαίων πολλὰ καὶ καλὰ διδαξάντων καὶ ἐργασαμένων παρθενίαν οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἵλετο. μόνῳ γὰρ ἄρα ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδιδαξε χωρεῖν εἰς θεόν. »ἐπρεπε γὰρ« τῷ ἀρχιερεῖ καὶ ἀρχιπροφήτῃ καὶ ἀρχαγγέλῳ τούτῳ καὶ ἀρχιπαρθένῳ προσαγορευθῆναι. τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν παρθενίαν, ἴσχυεν. ἔτι γὰρ ἐχρῃζε, »κατ᾽ εἰκόνα« θεοῦ γεγονώς, καὶ τὸ »καθ᾽ ὁμοίωσιν‘« ἀπολαβεῖν· ὅπερ τελεσιουργῆσαι καταπεμφθεὶς ὁ λόγος εἰς τὸν κόσμον, τὴν ἡμετέραν μορφὴν πρότερον ἀνέλαβε πολλοῖς ἁμαρτήμασι κατεστιγμένην, ἵνα δὴ τὴν ἡμεις, δι᾽ οὓς αὐτὸς ἐφόρεσε, πάλιν χωρῆσαι δυνηθῶμεν. καθ᾽ ὁμοίωσιν γὰρ ἀκριθβθῆναι τότε πάρεστι θεοῦ,

ὁπότε δὴ τοὺς αὐτοὺς αὐτῷ χαρακτῆρα τῆς κατὰ ὖνθρωπον πολιτείας ζωγράφων δίκην ἐπιστημόνων ἐν ἑαυτοῖς <ὥσπερ> σανίσιν ἐντυπωσάμενοι ἀσινεῖς ἣν αὐτὸς ἐφανέρωσε μαθητεύοντες τρίβον. ταύτῃ γὰρ ᾑρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα θεὸς ὤν, ὅπως ὥσπερ ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες ἔχωμεν καὶ ἡμεῖς τὸν γράψαντα μιμεῖσθαι. οὐ γὰρ ἕτερα φρονῶν ἕτερα ἐποίει· οὐδὲ μὴν ἕτερα νομίζων εἶναι τὰ καλὰ ἐδίδασκεν ἕτερα· ἀλλ᾽ ἅπερ ἦν ἀληθῶς ὠφέλιμα καὶ καλά, ταῦτα καὶ ἐδίδασκε καὶ ἐποίει.

Τί οὖν ὁ κύριος, ἡ ἀλήθεια, τὸ φῶς, εἰς τὸν κόσμον ἐπραγματεύσατο κατελθών; ἄφθορον ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμήσας. καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν »καθ᾽ ὁμοίωσιν« ἔσεσθαι θεοῦ, τοῦ χριστοῦ φιλοτιμώμεθα τὴν παρθενίαν τιμᾶν· ὁμοίωσις γὰρ θεῷ φθορᾶς ἀποφυγή. ὅτι· δὲ καὶ ἀρχιπάρθενος, ὃν τρόπον καὶ ἀρχιποιμὴν καὶ ἀρχιπροφήτης, γέγονεν ὁ λόγος ἐνανθρωπήσας τῆς ἐκκλησίας, καὶ ὁ χριστόληπτος ἡμῖν παρίστησιν ἐν βίβλῳ τῆς Ἀπακαλύψεως Ἰωάννης λέγων καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὼς ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ του οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤδουσα, ὡς φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. καὶ ᾄδουσι ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζῴων καὶ τῶν πρεβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαιεῖμ τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐχ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν οὗτοι οἱ ἀκολουθήσαντες Τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ«, τοῦ χοροῦ τῶν παρθένων ἐξάρχοντα δεικνύων τὸν κύριον. ἐπίστησον δὲ πρὸς τούτοις, ὅπως τὸ ἀξίωμα τῆς παρθενίας μέγιστον παρὰ τῷ θεῷ. »οὗτοι ἠγοράσθησαν ἀπὸ τῶι ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοί εἰσιν· ἀκολουθοῦσι« φησί »τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ«. σαφῶς ἡμᾶς καὶ ἐντεῦθεν διδάσκειν βούλεται, ὅτι ἐν ἀριθμῷ τοσούτῳ, τουτέστιν ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρσι χιλιάσιν, ἀπάνωθεν τὸ πλῆθος περιώριστο τῶν παρθένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος ἀόριστον ὀχλιζομένων. τί γὰρ παρεγγυᾷ καὶ περὶ τῶν λοιπῶν διαλεγόμενος, προσεκτέον· »καὶ εἶδον ἀπὸ πάσης λγώττης καὶ φυλῆς καὶ παντὸς ἔθνους πλῆθος πολύ, ὃ ἀριθμῆσαι αὐτὸ οὐδεὶς ἠδύνατο«. οὐκοῦν συνέστηκεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων ἁγίων αὐτὸν πληθὺν ἄφατον εἰσάγειν, ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ βραχύτατον ἀριθμόν, ὡς πρὸς σύγκρισιν τῶν εἰς ἀναρίθμητον πλῆθος συντελούντων.

Οὗτος, ὦ Ἀρετή, ὁ παρ᾽ ἐμοῦ σοι περὶ παρθενίας, ἔφη, λόγος εἰ δέ τι παρέλιπον, ἀναπληρούτω διαδεξαμένη με Θεοφίλα.

Book 2: Λόγος β΄. Θεοφίλα

Εἰπεῖν οὖν ἴφη τὴν Θεοφίλαν, ὃτι Δοκεῖ μοι ἀναγκαῖον εἶναι, ἐπειδὴ καλῶς ἡ Μάρκελλα ὁρμήσασα ἐπὶ τὸν λόγον οὐχ ἱκανῶς ἐπλήρωσεν, ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ εἰς παρθενίαν ἐκ προβάσεως προκόψαι τὸν ἄνθρωπον, τοῦ θεοῦ παρορμήσατος αὐτὸν κατὰ καιρὸν καὶ καιρόν , δοκεῖ μοι καλῶς διελέσθαι, τὸ δὲ μηκέτι χρῆναι λέγειν τοὐντεῦθεν τεκνογονεῖν οὐ καλῶς. ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν γραφῶν ὅτι παρθενίας ἐλθούσης ὁ λόγος οὐκ ἀνεῖλε πάντῃ τὴν τεκνογονίαν. οὐ γὰρ ἐπειδὴ τῶν ἄστρων ἡ σελήνη μείζων ἐστί, παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρῖται. ἀρξώμεθα δὲ ἀπὸ τῆς Γενέσεως, ἵνα δὴ καὶ πρεσβεύωμεν μᾶλλον τὴν γραφήν. ἡ γὰρ ἀπόφασις τοῦ θεοῦ καὶ τὸ διάταγμα τὸ ἐπὶ τῆς παιδοποιίας ὁμολογουμένως μέχρι καὶ νῦν συμπληροῦται, πλάσσοντος τὸν ἄνθρωπον ἔτι τοῦ δημιουργοῦ. τοῦτο γὰρ καὶ παντὶ καταφανές, ὡς ἄρα τὸν κόσμον ἀκμὴν ἐργίζεται ζωγραφῶν ὁ θεός, ὥσπερ δὴ καὶ ὁ κύριος ἐδίδαξεν, »ἕως ἄρτι ὁ πατήρ μου ἐργάζεται« λέγων. ἀλλ’ ὁπόταν οἱ ποταμοὶ ἤδη λωφήσωσιν εἰς τὸ τῆς θαλάσσης ἐμβάλλοντες ἀγγεῖον, καὶ τὸ φῶς ετλείως χωρισθῇ τοῦ σκότους (νῦν γὰρ ἔτι διαχωρίζεται) καὶ τοὺς καρποὺς μετὰ τῶν ἑρπετῶν καὶ τετραπόδων ἀναδιδόναι παύσηται λοιπὸν ἡ ξηρά, καὶ ὁ προωρισμένος τῶν ἀνθρώπων ἀριθμὸς ἀναπληρωθῇ· τότε δὴ λοιπὸν καὶ τῆς παίδοποιίας ἀφεκτέον. νῶν γὰρ εἰς τὴν εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον συνεστῶτος τοῦ κόσμου καὶ τεκταινμένου. »αὐξάνεσθε« γὰρ ἐλέχθη »καὶ πληθύνεσθε«. καὶ οὐ χρὴ τὸ διάταγμα βδελύττεσθαι τοῦ δημιουργοῦ, ἐξ οὐ δὴ καὶ αὐταὶ γεγόναμεν. ἀρχὴ γὰρ γενέσως ἀνθρώπων ἡ τοῦ σπέρματος εἰς τὰς αὐλακας τῆς μήτρας γίνεται καταβολή, ὃπως τὸ ἐκ τῶν ὀστέρων ὀστοῦν καὶ ἡ ἐκ τῆς σαρκὸς σαρξ ἕτερος ἄνθρωπος ἀοράτῳ ληφθέντα δυνάμει πάλιν ὑπὸ τεχνίτου δημιουργηθῶσι. ταύτῃ γὰρ ἐκείνην ἡγητέον πληροῦσθαι τὴν φωνήν τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκος μου«.

Τοῦτο γὰρ ἴσως ᾐνίσσετο καὶ ἡ κατὰ τὸν ἐπιβληθεῖσα τῷ πρωτοπλάστῳ, προδιατυπουμένη τὴν ἐπὶ τῆς φιλοτησίας θέλξιν τοῦ ἀνδρός, ὁπότε διψήσας τέκνων ἐξισταται παιδογόνοις ἐκθηλυνόμενος καθ’ ὕπνον ἡδοναῖς, ἵνα πάλιν τι τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς ἀποσπασθὲν ἕτερος ἄνθρωπος, ὡς ἔφην, ἀναπληρωθῇ. ἐκταρασσομένης γὰρ ἀρτῆς ἁρμονίας τῶν ἐν τοῖς κατὰ τὴν συνουσίαν ἐρεισμοῖς, ὡς οἱ τετελεσμένοι τὴν γαμήλιον ἡμᾶς διδάσκουσι τελετήν,

πᾶν τὸ μυελῶσες τοῦ αἵματος καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν, ἐκ πάντων τῶν μελῶν, ἀφροποιῆσαν καὶ θρομβωθὲν διὰ τῶν παιδογόνων ὀργάνων εἰς τὴν ἔμψυχον τῆς θηλείας ἐξέσσυται γῆν. εἰκότως ἄρα ἕνεκεν τούτου καταλιπεῖν λέλεκται »τὸν πατέρα καὶ τὴν τότε πάντων ἀθρόως ἀμνημονήσας, ὅτε φιλοστόρηοις ἐνούμενος τῇ γυναικὶ συμπλοκαῖς κάτοχος ἐπιθυμίας γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ θείῳ τὴν πλευρὰν δημιουργῷ, ὅπως ἐξ υἱοῦ δὴ καὶ αὐτὸς ὁ πατὴρ πάλιν ἐκφανῇ. οὐκοῦν εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ θεοῦ, πῶς οὐ τολμηρὸν τὸ βδελύσσεσθαι παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἀμιάντοις ὁ ἐργαζόμενος χερσί; »πρὸ τοῦ« γάρ με πλάσαι σε ἐν κοιλίᾳ μητρός, ἐπίσταμαί δε« τῷ Ἱερεμίᾳ φησί· τῷ δὲ Ἰώβ »μὴ σὺ λαβὼν πηλὸν ἔπλασας ζῷον καὶ λαλητὸν αὐτὸ ἔθου« ἔφη »ἐπὶ τῆς γῆς;« καὶ ὁ Ἰὼβ δὲ πρὸς αὐτὸν εὐκτικῶς φέρεται λέγων τό »κἰ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με«. πῶς δὲ οὐκ ἄτοπον τὸ ἀπαγορεύεσθαι γάμων συναλλαγάς, προσδοκωμένων ἔτι καὶ μεθ' ἡμᾶς ἔσεσθαι καὶ τῶν ἀντιτασσομένων τῷ πονηρῷ, δι᾽ οὓς δὴ καὶ τὰς τὰς ὁ λόγος ἐπηγγείλατο κολοβωθήσεσθαι; εἰ γὰρ φαῦλον, ὡς ἔφης, ἀπεντῦθεν νενόμισται τῷ θεῷ τὸ παιδοσπορεῖν, δι᾽ ἣν αἰτίαν οἱ παρὰ δόγμα φυόμενοι καὶ τὴν βουλὴν τὴν θείαν εὐάρεστοι δυνήσονται παραστῆναι τῷ δεῷ; ἀνάγκη γὰρ εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφιλὲς τὸ τεχθέν, εἰ παρὰ τὴν γνώμην καὶ τὸ διάταγμα δίκην παραχαράγματος πλάσσεται τῆς δυνάμεως, ἵνα δὴ καὶ ἀνθρώπους δύνασθαι δῶμεν ἀνθρωποπλαστεῖν;

Καὶ ἡ Μάρκελλα ὑπολαβοῦσα, Ὦ Θεοφίλα, μέγα σφάλμα ἔφη, καὶ ἐναντίον οἷς εἶπας ἀναφαίνεται, καὶ οἴει λεληθέναι παρωσαμένη τηλικοῦτον νέφος; ἥκει γὰρ ἐκεῖνος ὁ λόγος, ὃν ἴσως ἀπαιτῶν σέ τις, ὠ σοφτάτη, λέξει· Περὶ τῶν ἐκ μοιχίας ἀνόμως φυομένων Τί φῄς; ἔδωκας γὰρ εἰσελθεῖν εἰς τὸν κόσμον ἀμήχανον εἶναι καὶ ἀδύνατον, μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς μεγαλοσύνης, κατασκευασθέντος αὐτοῦ τοῦ σκηνώματος πρὸς τοῦ θεοῦ. καὶ ἵνα μὴ καταφύγῃς ὥσπερ εἰς τειχίον, ἐχέγγυον λέγουσαν γραφήν »τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα«, ἀποκρούσεταί σε πράως εἰπὼν ὅτι· Καὶ μὴν τελεσφόροις πολλαχῶς ὠδῖσιν ὥριμον καρπὸν τοὺς ἐκ παρανόμων συλληφθέντας ὡδε συναλλαγῶν ὁρῶμεν φυομένους. εἰ δ᾽ αὖ πάλιν σοφιζομένη φαίης· Ὦ οὗτος, ἐγὼ τὸ ἀτελεσφόρητον ἐπὶ τῶν μὴ τελειουμένων ἡγοῦμαι τάσσεσθαι τῇ χριστοδιδάκτῳ δικαιοσύνῃ, λελέξεται· Καὶ μήνι ὠ μακαρία, πλεῖστοι τεχθέντες ἔξ ἀδίκου σπορᾶς οὐδὲν ἧσσον οὐ μόνον τῇ ποίμνῃ καταξιοῦνται τῶν ἀδελφῶν , ἀλλὰ καὶ προκαθηγεῖσθαι τούτων κληροῦνται πολλαχῶς. οὐκοῦν ὄντος φανεροῦ καὶ πάντων ἱστορούντων καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ νομίζειν συλλήψεων πέρι καὶ τοκετῶν τὸ πνεῦμα πεπροφητευκέναι, ἀλλ᾽ ἴσως περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις νοθεύοντες δόγμασι τὰς γραφὰς ἀτελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβίᾳ συγκιρνῶντες τὴν πλάνην. διὸ καὶ ταύτης σου τῆς προφάσεως ἐξῃρημένης ἴθι δή, εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος, ἀπόκριναι, τοῦ θεοῦ. ἔφης γὰρ εἶναι ἀδύνατον ἀνθρώπου γονήν, μὴ μορφώσαντος αὐτὴν καὶ ἐμψυχώσαντος τοῦ κυρίου.

Καὶ ἡ Θεοφίλα ὑπὸ γενναίου ὥσπερ ληφθεῖσα τῶν μέσων ἀνταγωνιστοῦ ἐσκο τοδινίασε, καὶ μάλα μόλις ἀναπνεύσασα ἴφη· Ἐρωτᾷς ἐρώτημα διὰ παραδείγματος, ὦ μακαρία, χρῇζον ἀποδειχθῆναι, ἵν ἔτι μᾶλλον Ἴδῃς ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διοικοῦσα τοῦ πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς γόνιμον φυτευόμενα γῆν. οὐ γὰρ τὸ σπειρόμενον αἰτιατέον, ἀλλὰ τὸν εἰς ἀλλοτρίαν ἄρουραν κλεψιγάμοις εὐναῖς, οἱα μισθωτὸν ὀλίγης ἡδονῆς, τὴν ἰδίαν ἀναισχύντως πιπράσκοντα σποράν. ἀπείκασον γὰρ τοιούτῳ τινὶ τὴν ἡμετέραν γέννεσιν εἰς τὸν βίον, οἱον οἴκῳ παρακειμένην ἔχοντι τὴν εἴσοδον ὄρεσιν ὑψηλοῖς· διήκειν δὲ τὸν ἐπὶ πολὺ κάτω μέχρι μακρὰν τῆς εἰσόδου, ἔχοντα πολλὰς ὀπὰς ἐκ τῶν ὀπίσω καὶ περιφερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα.

Ἀπεικάζω, ἔφη ἡ Μάρκελλα.

Οὐκοῦν ὑπόλαβε ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην ἀνδριάντας᾽ τούτῳ δ᾽ αὐ τὴν ὕλην τοῦ πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πολλῶν ἀνθρώπων ἀνενδεῶς χορηγείσθαι, οὐδενὸς αὐτῶν ὁρῶντος τὸν τεχνίτην. δὸς δὲ κεκαλύφθαι τὸν οἶκον ὁμίκλῃ καὶ νεφέλαις καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανὲς ἢ μόνας τὰς ὀπάς.

Δεδόσθω, ἔφη, κω τοῦτο.

Εχειν τε ἕκαστον αὐτῶν τῶν συμπονούντων εἰς τὴν τοῦ πηλοῦ συγκομιδὴν ἀπονενεμημένην αὐτῷ μίαν ὀπήν , εἰς ἣν μόνην αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀποτίθεσθαι, μὴ ἁπτόμενον ἑτέρας. εἰ δ᾽ αὐ περιέργως ἀνοιγνύναι τὴν ἑτέρῳ κεκληρωμένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλητέον. † οὐκοῦν τὸ μετὰ ταῦτα λοιπὸν δὴ θεώρησον, ἔσωθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπὰς καὶ τὸν εὑρισκόμενον ἐν ἑκάτστῃ πηλὸν κατ᾽ ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσαντα πάλιν ἀποδιδόναι τοῖς ἔξω διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολήν, πάντα τὸν δυνάμνον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργάσζεσθαι, κἂν εἰς ἀλλοτρίαν ὑπό τινος εἰσοχετεύηται κακοτρόπως ὀπήν (οὐδὲν ἠδικηκέναι τὴν ὕλην· διὸ ὡς ἀναιτίαν μὲν δὴ χρῆναι πλάττεσθαι καὶ μορφοῦσθαι) , τὸν δὲ παρὰ τὸ διάταγμα καὶ τὴν ἐντολὴν εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπήν, τοῦτον ὡς ἀλάστορά τε καὶ παραβάτην τιμωρεῖσθαι. οὐ γὰρ τὸν πηλὸν αἰτιατέον, ἀλλ᾽ ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο πεποιηκότα· ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπὴν ἀπέθετο λαθραίως ἢ βίᾳ.

Ἀληθέστατα λέγεις.

Οὐκοῦν λοιπὸν δὴ καιρὸς τούτων ἤδη προδιηνυσμένων ταύτην σε πᾶσαν προσάπτειν, ὠ σοφωτάτη, τὴν εἰκόνα τοῖς ἤδη ἔμπροσθεν εἰρημένοις, τὸν μὲν οἰκον ἀφομοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως ἡμῶν φύσει, τὴν δὲ προσκειμένην εἴσοδον τοῖς ὄρεσι τῇ ἀπὸ οὐρανῶν εἰς τὰ σώματα καταβάσει καὶ παραπομπῇ τῶν ψυχῶν, τὰς δὲ ὀπὰς τῷ θηλυκῷ καὶ γυναικείῳ γένει, τὸν δὲ πλάστην τῇ ποιητικῇ δυνάμει τοῦ θεοῦ, ἥτις ἐπικαλύμματι τῆς γενέσεως ἡμῶν ὡς ἔφην τῇ φύσει χρωμένη ἔνδον ἡμᾶς ἀοράτως ἀνθρωποπλαστεῖ, τὰ ἐνδύματα ταῖς ψυχαῖς

ἐργαζομένη. τοὺς δὲ κομίζοντας τὴν ὕλην πηλοῦ τῷ ἀνδρείῳ καὶ ἀρρενικῷ παραβλητέον, ὁπότε διψήσαντες τέκνων εἰς τοὺς κατὰ φύσιν τῆς θηλείας φερόμενοι πόρους ἐγκαταβάλλουσι τὴν σποράν, ὥσπερ κἀκεῖ τὸν πηλὸν εἰς τὰς ὀπάς. θείας γάρ, ὡς ἔπος μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα μεταλαμβάνον οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμάτων. ἡ μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὓλην ἀεὶ τεκταίνεται· οὐδὲν γὰρ αὐτό τι καθ' ἑαυτὸ τῶν πραγμάτων ἡγητέον εἶναι κακόν, ἀλλὰ παρὰ τὴν πρᾶξιν ταῖν χρωμένων τοιοῦτο γίνεσθαι. κοσμίως μὶν γὰρ πραττόμενον καὶ σωφρόνως κόσμιον ἀπέβη, αἰσχρώς δὲ καὶ ἀσχημόνως αἰσχρόν. τί γὰρ ἠδίκησε σίδηρος γεωρικῆς χάριν καὶ τεχνῶν εὑρεθεὶς τοὺς εἰς ἀλληλοφόνους θήξαντας αὐτὸν μάχας; τί δὲ χρυσὸς ἢ ἄργυρος ἢ χαλκὸς καὶ συλλήβδην ἡ εὐέργαστος πᾶσα γῆ τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν ἐν τῷ προστρέπεσθαι τὰ ἀπ᾽ αὐτῶν ποικιλλόμενα βρέτη; κἂν γὰρ ἀπὸ κλεψιμαίων τῇ ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνῃ, πρὸς ἓν τοῦτο ἡ τέχνη δημιουργεῖ τὴν ὑποκειμένην ὓλην, εἰ δέξεται τὴν κατασκευήν, οὐδὲν ἀποβαλλομένην τῶν ἑαυτῇ χρησίμων, ἐπεὶ μηδὲ αἴτιόν ἐστιν ἐνταῦθα τὸ κλαπέν, ἄψυχον ὄν. διὸ δὴ αὐτὸ μὲν καὶ κοσμητέον. τὸν δὲ ὑφελόμενον ἀδίκῳ φωρᾷ τιμωρητέον. ἀτὰρ δὴ καὶ τοὺς δηλήμονας τῶν γάμων καὶ διαρρήκτας τῆς εὐαρμοστίας τοῦ βίου, τῶν χορδῶν φέγ,αόμπμτας οἴστρῳ καὶ τὴν ὄρεξιν εἰς μοιχείαν ἐκκαλουμένους, αὐτοὺς μὲν βασανιστέον καὶ τιμωρητέον· ἀπ᾽ ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτοντες συμπλοκάς· τὴν δὲ σποράν, ὠσπερ δὴ κἀκεῖ τὰ ἒρια, μορφωτέον καὶ ἐμωυχωτέον.

Καὶ τί χρὴ παραδείγμασι τοσούτοις καταχρωμένην μηκύνειν τὸν λόγον; οὐδὲ γὰρ ἂν οὕτως ἐν ὀλόγῳ χρόνῳ τοσοῦτον ἄνευ κομιδῆς ἒργον ἐξήνυσε φύσις. τίς γὰρ ὀστέων ἔπηξεν ἄπηκτον τίς δὲ ξυνέδησεν ἐπιτείνεσθαι νεύροις καὶ ἀνίεσθαι περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; ἢ τίς θεὸς ἐζύμωσε χυμὸν δεύσας αἱματι καὶ μαλθακὴν ἐκ χοὸς σάρκα ἢ μόνος ὁ ἀριστοτςεχνας, τὴν λογικωτάτην εἰκόνα καὶ ἔμψυχον τὸν ἄνθρωπον, ἡμᾶς, ἑαυτοῦ τεκταινόμενος καὶ κηροπλαστῶν ἐξ ὑγρῶν καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ; τίς γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμπνίγεσθαι τῷ ὑγρῷ καὶ τῇ συνοχῇ τῶν ἀγγείων ἐπικλυζόμενον ἔσω τὸ ἔμβρουν; ἢ τός ὁ μετὰ τὸ καὶ εἰς φῶς ἀνελθεῖν εἰς μέγεθος καὶ λάλλος καὶ ῥώμην ἐξ ἀσθενοῦς καὶ βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὐτος ὁ ἀριστοτέχνας, ὡς ἔφην, θεός, τῇ ποιητικῇ δυνάμει τῷ Χριστῷ μετασχηματίζων καὶ μεταζωγραφῶν τὰς ἰδέας;κλ ὅθεν δὴ καὶ τημελούχοις ἀγγέλοις, κἂν ἐκ μοιχείας ὦσι, τὰ ἀποτικτόμενα παραδίδοσθαι παρειλήφαμεν ἐν θεοπνεύστοις γράμμασιν. εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο καὶ τὸν θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ θεοῦ, πῶς ἀγγέλοις ταῦτα παρεδίδοτο τραφγσίνεβα μετὰ πολλῆς ἀναπαύσεως καὶ πῶς δὲ καὶ κτηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς εὐπαρρησιάσατως εἰς τὸ δικαστήριον ἐκίκλησκον τοῦ Χριστοῦ, »σὺ οὐκ ἐφθόνησας ἡμῖν, ὠ κύριε, τὸ κοινόν' λέγοντα »τοῦτο φῶς· οὗτοι δὲ εἰς θάνατον ἡμᾶς ἐξέθεντο, καταφρονήσαντες ἧς σῆς ἐντολῆς;« »ἐκ« γάρ ἀνόμων. φησίν »ὕπνων τέκνα γεννώμενα μάρτυρές εἰςι πονηρίας κατὰ γονέων ἑν ἐξετασμῷ«.

Καὶ τάχα μὲν οὐν δὴ χώραν ἒξει πιθανολογῶν τις ἐν οὐ κριτικοῖς καὶ φρονίμοις ἀνδράσι, τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον τοῦτον ὑπὸ ἀνθρώπων φυτευόμενον ἀυτοματὶ μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ θεοῦ· οὐ μὴν ἤδη καὶ τῆς ψυχῆς τὴν οὐσίαν μετὰ τοῦ θνητοῦ σπείρεσθαι διδάσκων πιστευθήσεται σώματος. τὸ γὰρ ἀθάνατον καὶ ἀγήρων μόνος ὁ παντοκράτωρ ἐμφυσᾷ, ᾗ καὶ μόνος τῶν ἀοράτων ἐστὶ καὶ ἀνωλέθρων ποιητής. »ἐνεφύσησε« γάρ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο« φησίν »ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.« ἀμέλει τοὺς χειροτέχνας τούτους αἰτιώμενος ὁ λόγος, ἐπὶ λύμῃ τῶν ἀνθρώπων τὰ ἀνδροείκελα κατασκευάζοντας ἀγάλματα, οὐχ αἰσθανομένους τὸν ἔδιον ποιητήν , ἐν τῇ παναρέτῳ Σοφίᾳ φησί· »σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτοῦς καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν καὶ ἐμφυσήσαντα αὐτοῖς πνεῦμα ζωτικόν.« οὕτως ἐστὶ πάντων ἀνθρώπων ποιητὴς ὁ θεός. διὸ καὶ »πάντας ἀνθρώπους« κατὰ τὸν ἀπόστολον »σῴζεσθαια βούλεται καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν«. — καὶ ἐπειδὴ τοῦτο μόλις ἴσχε τέλος, λοιπὸν δὴ τὰ μετὰ ταῦτα λεκτέον. ὁπόταν γάρ τις τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινότων κατὰ φύσιν ἐκμάθῃ, εἴσεται μὴ βδελύσσεσθαι παιδοποιίαν, ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. οὐδὲ γάρ, ἐπειδὴ τῶν ἄλλων ἐστὶν ἡδύτερον καὶ τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ προσῆκε νομίζεσθαι πικρά, ὁπόσα δὴ τῇ ἐμφύτῳ γλυκασίᾳ κεέρασται τῶν ἀκροδρύων. καὶ τούτων μὲν ἐχέγγυον μάρτυρα παρέξομαι τὸν Παῦλον ὥστε καὶ ὁ γαμίζων« λέγοτα »τὴν ἑαυτοῦ παρθένον καλῶς ποιεῖ, καὶ ὁ μὴ γεμίζων κρεῖσσον ποιεῖ«. οὐ γὰρ δὴ τῇ τοῦ κρείττονος καὶ γλυκυτέρου παραθέσει τὸ ἕτερον ἀτερον ἀπαγορεύσας ὁ λόγος, ἑκάστῳ τὸ οἰκεῖον καὶ λυσιτελὲς ἀπονέμων διαθεσμοθετεῖ. τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν, τοὺς δὲ καὶ οὐκέτι βούλεται χραίνεσθαι φοινισσομένους ἐρεθισμοῖς, ἀλλὰ μελετᾶν ἀπεντεῦθεν ἤδη καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων, ἔνθα »οὔτε γαμοῦσιν οὔτε γαμίσκονται«, κατὰ τοὺς ἀψευδεῖς χρησμούς· ἐπεὶ μηδὲ πᾶσιν ὁ ἀμόλυντος καὶ παρεκτικὸς τῆς βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται, ἀλλὰ μόνοις ἐκείνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀειθαλὲς ἄνθος καὶ ἄχραντον τῆς παρθενίας τηρῆσαι. ἀνθηροτάτῳ γὰρ ἀπεικάζεσθαι καὶ ποικιλωτάτῳ λειμῶνι λόγος ἔχει προφητικὸς τὴν ἐκκλησίαν, οὐ μόνον τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας καὶ τοῖς τῆς ἐγκρατείας. »ἐν κροσσωτοῖς« γάρ »χρυσοῖς πεποικιλμένη« »ἐκ δεξιῶν ἡ βασίλισσα« παρίσταται τοῦ νυμφίου.

Ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τὴν ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν

ὑπὲρ τῆς ἁγνείας συμβάλλομαι λόγον.

Εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλας θόρυβον ἡδὺν ἐκ πασῶν ἡ Θεοπάτρα ἴφη γεγονέναι τῶν παρθένων ἐπαινουσῶν τὸν λόγον, ὡς δὲ ἡσύχασαν, σιωπῆς ἐπὶ πολὺ γεγενημένης ἀναστῆναι τὴν θάλειαν· ταύτῃ γὰρ ἐκ τρίτου ἐπετέτραπτο μετὰ τὴν Θεοφίλαν ἀγωνίζεσθαι.

Book 3: Λόγος γ΄. Θάλεια

Ὑπολαβοῦσα οὐν ἐντεῦθεν. ὡς οἶμαι, ἤδη καὶ αὐτή, Σύ μοι δοκεῖς, ὠ Θεοφίλα, ἓφη, καὶ τῇ πράξει καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν στεύειν καὶ σοφίας τὰ δεύτερα φέρεσθαι οὐδενός. οὐ γὰρ ἔστιν αἰτιάσεται σου τὸν λόγον, οὐδ᾽ εἰ παντάπασι φιλόνεικος εἴη καὶ ἀντιλογικός. πλὴν ἐκεῖνό με μόνον τῶν ἄλλων ὀρθῶς εἰρημίνων, ὠ μακαρία. δοκεῖ ταράττειν τε καὶ ἀνιᾶν, ἀναλογιζομένην ὡς οὐκ ἂν ὁ πνευματικώτατος καὶ σοφὸς ἀνήρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν »εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν‘ τὴν σύνερξιν τοῦ πρωτοπλάστου καὶ τῆς γυναικός, εἰ μηδὲν ὑψηλότερον ἐφαντάζετο τῶν ῥητῶν καὶ τῆς ἱστορίας ἡ γραφή. εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως ἀνδρός τε καὶ γυναικὸς δεῖ παραλαμβάνεσθαι τύπον φιλῶς τὴν γραφήν, τίνος δὴ χάριν ὁ ἀπόστολος τούτων ἐπιμνησθεὶς καὶ εἰς τὴν τοῦ πνεύματος ἡμᾶς, ὡς οἶμαι, χειρσγωγῶν ὁδόν, »εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν‘ ἀναφέρων ἀλληγορεῖ τὰ κατὰ τὴν Εὐαν καὶ τὸν Ἀδάμ; ἡ μὲν γὰρ λέξις τῆς Γενέσεως οὕτω φησί· »καὶ εἶπεν ὁ Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὐτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο σάρκα μίαν«. ὁ δὲ ἀπόστολος εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περικοπὴν οὐκέτι κατὰ τὸ κείμενον αὐτήν, ὡς ἔφην, ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι γυναικός τε καὶ ἀνδρός, ὥσπερ δὴ καὶ σύ. σὺ γὰρ φυσικώτερον ἐπεργαζομένη τὸν λόγον λήψεων πέρι καὶ τοκετῶν ἔδωκας ἀποφαίνεσθαι μόνον τὴν γραφήν· ἵνα γὰρ τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρωπος ἕτερος ληφθὲν γεννηθῇ ταύτῃ συνεῖναι τὰ ζῷα σπαργῶντα καὶ ὠδίνοντα δένδρων ἀίκην ἐν ὥρᾳ τοῦ κυεῖν. ἐκεῖνος δὲ πνευματικώτερον εἰς τὸν Χριστὸν ἀναλαμβάνεσθαι τὸν λόγον διδάσκων οὕτως ἴφη· »ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, ὅτι μέλη μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν.«

Μὴ κινείτω δέ σε, εἰ περὶ ἑτέρων διαλεγόμενος εἰς ἕτερα μεταπηδᾷ, ὥστε νομίζειν ἀνμιγνύναι καὶ παρεμβάλλειν αὐτὸν ἀνόμοια τοῖς προκειμένοις, παρεκβαίνοντα

τοῦ σκέμματος, ωοσλερ ὴ καὶ νῦν. τὸν περὶ τῆς ἀrνείας γὰρ ἐθελήσος, ὡς εἰκός, μεμsλημένως αὐτῷ κρατυνθῆναι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν, τῷ λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ ὁ γάρ τοι χαρακτὴρ αὐτῷ τῶν λόγων, ποικιλώτατος ὢν καὶ κατὰ παραύξησιν ἐξειργασμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προχεῖται δὲ εἰς τὸ ὑφηλότερον καὶ μεγαλοπρεπές· εἶτ᾽ αὖθις εἰς βαθύτητα μεταβάλλων ὁτὲ μὲν εἰς τὸ ἁπλούστερον καὶ ἀφελές, ὁτὲ δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ λεπτόν, οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς, ἀλλὰ πάντα κατά τινα θαυμαστὴν οἰκειότητα συμχεριγράφων εἰς ἕν τὸ προκείμενον αὐτῷ σκέμμα τῆς ὑποθέσεως ἀπεργάζεται. ἀνδρειότερον γὰρ ἀνακαλύψαι τὸν νοῦν τῶν κατὰ τὸν ἀπόστολον ἐπιχειρημάτων, οὐδὲν τῶν ἔμπροσθεν ἐιρημένων ἀποκρουομένην. ἱκανῶς γὰρ κἀκεῖνά μοι διεξεληλυθέναι καὶ λαμπρῶς δοκεῖς, ἀκινδυνότερον, ὦ Θεοφίλα, τὰ ῥήματα τῆς γραφῆς, ὡς εἶχεν, ἐπεξεργασαμένη. σφαλερὸν γὰρ πάντῃ καταφρονεῖν τῶν κειμένων, ὡς εἴρηται, μάλιστα τῆς Γενέσεως ἔνθα ἀποφάσεις ἀπαράλλακτοι φέρονται τοῦ θεοῦ εἰς τὴν σύστασιν τοῦ παντός, αἷς ἡρμοσμένως εἰσέτι καὶ νῦν κάλλιστα κατὰ μέτρον τέλειον ἀπευθύνεται τελείως ὁ κόσμος, ἔστ᾽ ἂν αὐτὸν πάλιν αὐτὸς ὁ διακοσμήσας κοσμήσας ἀναστοιχειῶσαι ἀναστοιχειῶσαι βουληθεῖς ἑτέρῳ διατάγματι τοὺς πρώτους τῆς φύσεως ἀναλύσῃ θεσμούς. ἀλλ ἐπειδὴ οὐ χρὴ ἀνεξέλεγκτον καὶ ὥσπερ ἐξ ἡμισείας χωλὴν τὴν ἀπόδειξιν τοῦ λόγου καταλεῖψαι, φέρε δὴ καὶ τὴν κατ᾽ ἀναγωγὴν αὐτῷ συζυγίαν ἀποδῶμεν ἡμεῖς βαθύτερον ἐπισκεψάμεναι τὴν γραφήν. οὐ γὰρ <τοῦ Παύλου> καταφροντέον τοῦ ὑπεραναβαίνοντος τὸ ῥητὸν καὶ εἰς τὸν Χριστὸν αὐτὸ συντείνειν καὶ εἰς τὴν ἐκκλησίαν ἀποφηναμενου.

Καὶ πρῶτον ἐξεταστέον — εἰκὸς γὰρ ἀντιπροσθεῖναί τινας ἄλλοτε ἀλλως — , πῶς ὁ Ἀδὰμ ἀπεικάζεσθαι δύναται τῷ υἱῷ τοῦ θεοῦ, ἐν τῷ παραπτώματι τῆς παραβάσεως εὑρεθεὶς καὶ ἀκούσας τό »γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ‘. πῶς δὲ καὶ »πρωτότοκος πάσης τῆς κτίσεως‘ νομισθήσεται ὁ μετὰ τὴν γῆν καὶ τὸ στερέωμα πηλοπλαστούμενος; πῶς δὲ καὶ τὸ »ξύλον τῆς ζωῆς« αὐτὸς εἶναι συγχωρηθήσεται ὁ ἐκβαλλόμενος διὰ τὴν παράβασιν, »ἵνα μὴ πάλιν ἐκτείνας τὴν Χεῖρα καὶ φαγὼν ἀπ᾽ αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνας«; τὸ γὰρ ἀπεικαζόμενον ἐκείνῳ οὗ ἐστιν ἀπεικασία ὁμοιιοῦσθαι [αὐτῷ] καὶ κατὰ πολλὰ χρή. ἀλλὰ μὴ ἐκ τῶν ἐναντίων καὶ ἀνοικείων τὴν σύστασιν ἔχειν. οὐ γὰρ ἂν τὸ ἄνισον τῷ ἀρτίῳ ἢ τὴν ἁρμονίαν τῇ ἀναρμοστίᾳ τις ἐξισάσαι τολμῶν ὡς ἔμφρων ἀποδεχθήσεται, ἀλλὰ ἴσον τῷ φύσει ἴσῳ, κἂν ἐξ ὀλίγου ἴσον ᾖ, καὶ τὸ λευκὸν τῷ λευκῷ, κἂν αὐτὸ βραχύτατον καὶ με τρίως φαντάζοιτο τὴν λευκότητα ἐκείνου, δι᾽ ἣν δὴ καὶ αὐτὸ λέγεται λευκόν. ἴσον δὲ καὶ καὶ λαμπρὸν τὸ ἀναμάρτητον εἶναι καὶ ἀδιάφθορον ἀνενδοίάστως παντί που σαφὲς τὴν σοφίαν, ἀνάρτιον δὲ καὶ ἀναρμόνιον τὸ θνητὸν καὶ ἁμαρτωλὸν καὶ διὰ κατάγνωσιν ἐκβληθὲν καὶ ὑπὸ καταδίκην ἐληλυθός.

Τὰ μὲν οὖν δὴ πρὸς τῶν πολλῶν ἀντισφαιριζόμενα σχεδὸν εἶναι τοιαῦτα δὴ νομίζω, ὅσοι δὴ μὴ θέλουσιν εἰς Χριστὸν τὸν πρῶτον ἄνθρωπον , καταφρονοῦντες τῆς συνέσεως, ὡς εἰκός, Παύλου. φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστόν, οὐ μόνον αὐτὸν τύπον ἡγούμενος εἶναι

καὶ εἰκόνα, ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι διὰ τὸ τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι λόγον. ἥρμοζε γὰρ τὸ πρωτόγονον τοῦ θεοῦ καὶ πρῶτον βλάστημα καὶ μονογενὲς τὴν σοφίαν τῷ πρωτοπλάστῳ καὶ πρώτῳ καὶ πρωτογόνῳ τῶν ἀνθρώ- πων ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. τοῦτο γὰρ εἶναι τὸν Χριστόν, ἄνθρωπον ἀκράτῳ θεότητι καὶ τελείᾳ πεπληρωμένον καὶ θεὸν ἐν ἀνθρώπῳ κεχωρημένον· ἦν γὰρ πρεπωδέστατον τὸν πρεσβύτατον τῶν αἰώνων καὶ πρῶτον τῶν ἀρχαγγέλων, ἀνθρώποις μέλλοντα συννομιλεῖν, εἰς τὸν πρεσβύτατον καὶ πρῶτον τῆς ἀνθρωπότητος ἄνθρωπον εἰσοικισθῆναι τὸν Ἀδάμ. ταύτῃ γὰρ τὰ ἐξ ὑπαρχῆς καὶ ἀναπλάσσων αὖθις ἐκ παρθένου καὶ πνεύματος τεκταίνεται τὸν αὐτόν, ἐπειδὴ καὶ κατ᾽ ἀρχάς, οὔσης παρθένου τῆς γῆς ἔτι καὶ ἀνηρότου, λαβὼν χοῦν τὸ λογικώτατον ἐπλάσατο ἀπ᾽ αὐτῆς ὁ θεὸς ἄνευ σπορᾶς.

Καί μοι ἐχέγγυος μάρτυς καὶ σαφὴς ὁ προφήτης Ἰερεμίας παρίτω, »καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως« λέγων »καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων. καὶ διέπεσε τὸ ἀγγεῖον, ὃ ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι«. ἔτι γὰρ πηλουργούμενον τὸν Ἀδάμ, ὡς ἔστιν καὶ τηκτὸν ὄντα καὶ ὀδαρῆ, καὶ μηδέπω φθάσαντα δίκην ὀστράκου τῇ ἀφθαρσίᾳ κραταιωθῆναι καὶ ἀποπετρωθῆναι, ὕδωρ ὥσπερ καταλειβομένη καὶ καταστάζουσα διέλυσεν αὐτὸν ἡ ἁμαρτία. διὸ δὴ πάλιν ἄνωθεν ἀναδεύων καὶ τὸν αὐτὸν »εἰς τιμήν‘ ὁ θεός, ἐν τῇ παρθενικῇ κραταιώσας πρῶτον καὶ πήξας μήτρᾳ καὶ συνενώσας καὶ συγκεράσας τῷ λόγῳ, ἄτηκτον καὶ ἄθραυστον ἐξήγαγεν εἰς τὸν βίον, ἵνα μὴ πάλιν τῆς φθορᾶς ἔξωθεν ἐπικλυσθεὶς ῥεύμασιν τηκεδόνα γεννήσας διαπέσῃ. — καὶ ἐν τῇ περὶ τῆς ἀνευρέσως δὲ τοῦ προβάτου φαίνεται <τὰ αὐτὰ> διδάσκων ὁ κύριός μου παραβολῇ, ἐνθα φησὶ ρπὸς τοὺς παρεστηκότας· »τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔχει ἑκατὸν πρόβατα, κἂν ἀπολέσῃ ἓν ἐξ αὐτῶν, οὐκ ἀφίησι τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τοῖς ὄρεσι, καὶ πορευθεὶς ἐπὶ τὸ ἀπολωλὸς ζητεῖ αὐτὸ ἕως εὕρῃ; καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ ἐλθὼν εἰς οἶκον τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων· συχάρητέ μοι. ὅτι εὑρέθη πρόβατόν μου τὸ ἀπολωλός.«

Ἐπειδὴ γὰρ αὐτὸς ὡς ἀληθῶς ἦν τε καὶ ἔστιν, »ἐν ἀρχῇ« ὢν »πρὸς τὸν θεὸν. καὶ »θεὸς« ὤν, ὁ »ἀρχιστράτηγος« καὶ »ποιμήν« τῶν κατ᾽ οὐρανόν, ᾧ πάντα πείθονται καὶ ὁμαρτοῦσι τὰ λογικά, καὶ ποιμαίνων εὐτάκτως καὶ ἀριθμῶν τὰ πλήθη τῶν μακαρίων ἀγγέλων, . . οὗτος γὰρ ἴσος καὶ τέλειος ἀριθμὸς ἀθανάτων ζῴων κατὰ γένη καὶ φῦλα διῃρημένων, συμπαραληφθέντος ἐνταῦθα τῇ ποίμνῃ καὶ τοῦ ἀνθρώπου· δεδημιούρητο γὰρ δὴ καὶ αὐτὸς ἔξω φθορᾶς, ἵνα τὸν βασιλέα γεραίρῃ πάντων καὶ ποιητὴν ἀντίφθογγα μελῳδῶν ταῖς τῶν ἀγγέλων ἐξ οὐρανοῦ φερομέναις βοαῖς. ἀλλ᾽ ἐπεὶ συνέβη παρεληλυθότα τὴν ἐντολὴν ὀλέθριον πτῶμα καὶ δεινὸν πεσεῖν, εἰς θάνατον ἀνστοιχειωθέντα, διὰ τοῦτό φησιν ὁ κύριος ἑαυτὸν εἰς τὸν βίον ἐκ τῶν οὐρανῶν ἐληλυθέναι, καταλελοιπότα τὰς τάξεις καὶ τὰ στρατόπεδα τῶν ἀγγέλων. ἀπεικονίστέον γὰρ τὰ μὲν ὄρη τοῖς τὰ δὲ ἐνενήκοντα πρόβατα καὶ ἐννέα ταῖς δυνάμεσι καὶ »ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις«, ἃς καταλέλοιπεν ἀναζητῆσαι κατελθὼν τὸ ὁ στρατηγὸς καὶ

ποιμήν. ἔλειπε γὰρ ἀνθρωπος εἰς ἐγκαταλεχθῆναι τούτων ἔτι καὶ τὸν ἀριθμόν, βασιτάσαντος αὐτὸν τοῦ κυρίου καὶ ἀμφιεσαμένου, ἵνα δὴ μὴ πάλιν, ὡς ἔφην, ταῖς τρικυμίαις καὶ ταῖς ἀπάταις τῆς ἡδονῆς περικλυσθεὶς καταποντωθῇ. ταύτῃ γὰρ τὸν ἄνθρωπον ἀνείληφεν ὁ λόγος, ὅπως δὴ δι᾽ αὐτοῦ καταλύσῃ τὴν ἐπ᾽ ολέθρῳ γεγονυῖαν καταδίκην, ἠττήσας τὸν ὄφιν. ἥρμοζε γὰρ μὴ δι᾽ ἑτέρου νικηθῆναι τὸν πονηρόν, ἀλλὰ δι᾽ ὃν δὴ καὶ ἐκόμπαζεν ἀπατήσας αὐτὸν τετυραννηκέναι· ὅτι μὴ ἄλλως τὴν ἁμαρτίαν λυθῆναι καὶ τὴν κατάκρισιν δυνατὸν ἦν, εἰ μὴ πάλιν ὁ αὐτὸς ἐκεῖνος ἄνθρωπος, δι᾽ ὃν εἴρητο τό »γῆ εἶ καὶ εἰς ἀπελεύση«, ἀναπαλαίσας ἀνέλυσε τὴν ἀπόφασιν τὴν δέ αὐτὸν εἰς πάντας ἐξενηνεγμένην, ὅπως, καθὼς »ἐν τῷ Ἀδάμ« πρότερον »πάντες ἀποθνῄσκουσιν, οὕτω« δὴ πάλιν καὶ »ἐν τῷ« ἀνειληφότι »χριστω« τὸν Ἀδὰμ» πάντες ζῳοποιηθῶσιν«.

Καὶ περὶ μὲν τοῦ τὸν ἄνθρωπον ὄργανον γεγονότα καὶ ἔνδυμα τοῦ μονογενοῦς τοῦτο ἀπειρηάσθαι, ὅπερ ἦν αὐτὸς ὁ εἰς αὐτὸν εἰσοικισθείς, σχεδὸν ἤδη μοι δικεῖ τέλος ἔχειν· τὸ δὲ ὅτι μήτε ἀνισότης ἐστὶ μήτε μὴν ἀναρμοστία πάλιν ἐξ ἀρχῆς διὰ βραχέων ἐπισκεπτέον. τὸ γὰρ αὐτοφύσει καλὸν καὶ αὐτοφύσει δίκαιον καὶ ὅσιον, οὐ τὰ ἄλλα κατὰ μετοχὴν γίνεται καλά, τὴν σοφίαν ὁ λέγων τυγχάνειν μετὰ τὸν θεὸν ὀρθότατα λέγει, τὸ δὲ αὖ ἀ νόσιον καὶ ἄδικον καὶ πονηρὸν τὴν ἁμαρτίαν. δύο γάρ τὰ εἰς ἄκρον ἀλλήλοις ἐναντία ζωὴ καὶ θάνατος, ἀφθαρσία καὶ φθορά. ἰσότης μὲν γάρ ἐστιν ζωςη, ἀνισότης δὲ ἡ φθορά, καὶ ἁρμονία μὲν ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, ἀναρμοστία δὲ ἡ ἀδικία καὶ ἡ ἀφροσύνη. ὁ δὲ δὲ τούτων ὢν μεταξύ, οὔτε αὐτὸ τοῦτο δικαιοσύνη οὔτε μήν ἐστιν ἀδικία· ἀλλὰ τῆς ἀφθαρσίας ἐν μέσῳ βεβηκὼς καὶ τῆς φθορᾶς, εἰς ὁποτέραν < ἂν> αὐτῶν νεύσας προσκλιθῇ, εἰς τὴν τοῦ κρατήσαν·τος μεταβάλλεσθαι λέγεται φύσιν. ἐκκλίνας μὲν γὰρ εἰς τὴν φθορὰν φθαρτὸς γίνεται καὶ θνητός, εἰς δὲ τὴν ἀνθαρσίαν ἄφθαρτος καὶ ἀθάνατος. μεθόριος γὰρ τοῦ τῆς ζωῆς« ξύλου κοὶ τοῦ γνωστοῦ καλοῦ τε καὶ πονηροῦ‘ τεθείς, οὗπερ ἀπεγεύσατο τῶν καρπῶν, εἰς τὴν τούτου καὶ μετεβλήθη μορφήν, οὔτε »τὸ τῆς ζωῆς ξύλον« « αὐτὸς ὢν οὔτε τὸ τῆς φθορᾶς, ἀλλὰ μετοχῇ μὲν καὶ παρουσίᾳ φθορᾶς θνητὸς φανείς, προσοικείωσει δὲ καὶ ἀλοιφῇ ζωῆς ἄφθαρτος πάλιν καὶ ἀθάνατος. ὥς καὶ Παῦλος ἐδίαξεν εἰπών· »οὐ γὰρ ἡ φθορὰ κληρονομήσει τὴν ἀφθαρσίαν«, οὐδὲ ὁ θάνατος τὴν ζωήν, φθορὰν μὲν καὶ θάνατον αὐτὸ τὸ φθεῖρον ὁρισάμενος εἰκότι λόγῳ καὶ τὸ ἀποκτεῖνον, ἀλλ᾽ οὐ τὸ φθειρόμενον καὶ τὸ θνῄσκον, αφθαρσίαν δὲ καὶ ζωὴν αὐτὸ τὸ ἀπαθανατίζον καὶ ζῳοποιοῦν, ἀλλ᾽ οὐ τὸ ἀπαθανατιζόμενον καὶ ζῳοποιούμενον. ὥστε οὔτε ἀναρμοστία καὶ ἀνισότης ὁ ἄνθρωπός ἐστιν οὔτε μὴν ἰσότης καὶ εὐαρμοστία· ἀλλ᾽ ὅτε μὲν ἐδέξατο τὴν ἀναρμοστίαν, ὅπερ ἐστὶ τὴν παράβασιν καὶ τὴν ἁμαρτίαν, γέγονεν ἀνάρμοαστος καὶ ἀπρεπής· ὅτε δὲ τὴν ἁρμονίαν, τουτέστι τὴν δικαιοσύνην γέγονεν εὐάρμοστον ὄργανον καὶ εὐπρεπές, ὅπως ὁ κύριος, ἡ ἀφθαρσίαν νικήσασα τὸν θάνατον, εὐήχως τὴν ἀνάστασιν μελῳδήσῃ τῇ σαρκί, μὴ ἐάσας αὐτὴν κληρονομηθῆναι πάλιν ὑπὸ τῆς φθορᾶς. καὶ μὲν δὴ καὶ περὶ τούτων αὐτάρκως ἤδη λελέχθω.

Προγεγύμνασται γὰρ μετὰ συστάσεων οὐκ εὐκαταφρονήτων ἐκ τῆς γραφῆς ὡς ἄρα ὁ πρωτόπλαστος οἰκείως εἰς αὐτὸν ἀναφέρεσθαι δύναται τὸν Χριστόν, οὐκέτι

τύπος ὢν καὶ ἀπεικασία μόνον καὶ εἰκὼν τοῦ μονογενοῦς, ἀλλὰ καὶ αὐτὸ τοῦτο σοφία γεγονὼς καὶ λόγος. δίκην γὰρ ὕδατος ὁ ἄνθρωος συγ κερασθεὶς τῇ σοφίᾳ καὶ τῇ ζωῇ τοῦτο γέγονεν, ὅπερ ἦν αὐτὸ τὸ εἰς αὐτὸν ἄκρατον φῶς. ὅθεν ὁ ἀπόστολος εὐθυβόλως εἰς Χριστὸν τὰ κατὰ τὸν Ἀδάμ. οὕτως γὰρ ἂν μάλιστα ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς τὴν ἐκκλησίαν συμφωνησαι γεγονέναι, ἧς δὴ χάριν καταλείψας τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς κατῆλθεν ὁ λόγος προσκολληθησόμμενος τῇ γυναικὶ καὶ ὕπνωσε τὴν ἔκστασιν τοῦ πάθους, ὑπὲρ αὐτῆς ἀποθανών, »ὅπως αὐτὸς ἑαυτῷ παραστήσῃ τὴν ἐκκλησίαν ἔνδοξον καὶ ἄμωμον, καθαρίσας τῷ λουτρῷ« πρὸς τοῦ νοητοῦ καὶ μακαρίου σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ νοός, ὑποδέχεται δὲ καὶ μορφοῖ δίκην γυναικὸς ἡ ἐκκλησία εἰς τὸ γεννᾶν τὴν ἀρετὴν καὶ ἐκτρέφειν. ταύτῃ γὰρ καὶ τό »αὐξάνσθε καὶ πληθύνεσθε« πληροῦται προσηκόντως, εἰς μέγεθος καὶ κάλλος καὶ πλῆθος αὐξανομένης καθ᾽ ἡμέραν αὐτῆς διὰ τὴν σύνερξιν καὶ τὴν κοινωνίαν τοῦ λόγου συγκαταβαίνοντος ἡμῖν καὶ νῦν ἔτι καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους. οὐ γὰρ ἂν ἄλλως ἡ ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας καὶ ἀναγεννῆσαι »διὰ τοῦ λουτροῦ« δύναιτο »τῆς παλιγγενεσίας«, ἐὰν μὴ καὶ διἰ αὐτοὺς ὁ Χριστὸς κενώσας ἑαυτόν, ἵνα χωρηθῇ κατὰ τὴν ἀνακεφαλαίωσιω, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνῃ καταβὰς ἐξ οὐρανῶν καὶ προσκολληθεὶς τῇ ἑαυτοῦ γυναικί, τῇ ἐκκλησίᾳ, παράσχοι σχοι πλευρᾶς ἀφαιρεῖσθαι τῆς ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξηθῶσιν οἱ ἐν αὐτῷ οἰκοδομηθέντες ἅπαντες, οἱ γεγεννημένοι διὰ τοῦ λουτροῦ, ἐκ τῶν ὀστῶν καὶ ἐκ τῆς σαρκός. τουτέστιν ἐκ τῆς ἁγιωσύνης αὐτοῦ καὶ ἐκ τῆς δόξης προσειληφότες. ὀστᾶ ὀστᾶ γὰρ καὶ σάρκα σοφίας ὁ λέγων εἶναι σύνεσιν καὶ ἀρετὴν ὀρθότατα λέγει, πλευρὰν δὲ τὸ πνεῦμα τῆς ἀληθείας« τὸ παράκλητον, ἀφ᾽ οὐ λαμβάνοντες εἰς ἀφθαρσίαν ἀναγεννῶνται προσηκόντως οἱ πεφωτισμένοι. ἀδύνατον δὲ τοῦ πνεύματος τοῦ ἁγίου μετασχεῖν τινα καὶ μέλος καταλεχθῆναι Χριοτοῦ, ἐὰν μὴι πρότερον καὶ ἐπὶ τούτου συγκατελὼν ὁ λόγος ἐκστῇ κοιμηθείς, ἵνα τὴν ἀνανέωσιν καὶ τὸν ἀνακαινισμὸν συνεξαναστὰς τοῦ ὕπνου τοῦ κεκοιμημένου καὶ αὐτὸς μεταλαβεῖν δυνηθῇ, πνεύματος ἀναπλησθείς. τοῦτο γὰρ κυρίως ἂν ἡ πλευρὰ λέγοιτο τοῦ λόγου, »τὸ πνεῦμα τῆς ἀληθείας« τὸ ἑπτάμορφον κατὰ τὸν προφήτην· ἀφ᾽ οὗ λαμβάνων ὁ θεὸς μετὰ τὴν ἔκστασιν τοῦ Χριστοῦ, ὃ δή ἐστι μετὰ τὴν ἐνανθρώπησιν καὶ τὸ πάθος, τὴν »βοηθὸν« αὐτῷ κατασκευάζει, λέγω δὴ τὰς ἡρμοσμένας αὐτῷ καὶ νενυμφευμένας ψυχάς. ἔστι γὰρ ὅτε πολλαχῶς αὐτὸ τὸ ἄθροισμα καὶ ἀγεληδὸν τῶν πεπιστευκότων ἐκκλησίαν οὕτως ὀνομάζουσιν αἱ τῶν τελειοτέρων κατὰ προκοπὴν εἰς ἓν πρόσωπον καὶ σῶμα τὸ τῆς ἐκκλησίας ἀναγομένων. οἱ μὲν γὰρ κρείττονες καὶ τρανότερον σπάσαντες ἤδη τὴν ἀλήθειαν, οὗτοι διὰ τὴν τελείαν κάθαρσιν καὶ πίστιν ἀποστερωθέντες τῶν τῆς σαρκὸς ἀτοπημάτων ἐκκλησία γίνονται καὶ βοηθὸς‘ τοῦ Χριστοῦ, »παρθένος« ὡσπερ κατὰ τὸν ἀπόστολον αὐτῷ καθηρμοσμένοι τε καὶ νενυμφευμένοι, ἵνα τὴν καθαρὰν τῆς διδασκαλίας ὑποδεξάμενοι καὶ γόνιμον σπορὰν συνεργήσωσι βοηθοῦντες τῷ κρηύγματι πρὸς τὴν τῶν λοιπῶν λοιπῶν οἱ δὲ ἀτελεῖς ἔτι καὰ ἀπαρχόμενοι εἰς σωτηρίαν τῶν μαθημάτων ὠδίνονται μορφοῦνται ὥσπερ ὑπὸ μητράσι πρὸς τῶν

τελειοτέρων, ἔστ᾽ ἂν ἀποκυηθέντες ἀναγεννηθπωσιν εἰς μέγεθος καὶ κάλλος ἀρετῆς, καὶ πάλιν αὖ κατὰ προκοπὴν ἐκκλησία καὶ οὐτοι γεγονότες εἰς ἑτέρων τόκον ὑπουργήσωσι τέκνων καὶ ἀνατροφήν, μήτρας δίκην ἐν τῷ δοχείῳ τῆς ψυχῆς τὸ θέλημα τελεσφορήσαντες ἀλώβητον τοῦ λόγου.

Ἐπισκέψασθαι γὰρ χρὴ καὶ τὰ περὶ τὸν ἀοίδιομον Παῦλον, ὅτι ὁπότε οὐδέπω »τέλειος« οὗτος ἡ »ἐν Χριστῷ«, γεννᾶται πρότερον καὶ γαλουχεῖται, εὐαγγελιζομένου καὶ ἀνακαινίζοντος αὐτὸν Ἀνανίου τῷ βαπτίσματι, καθὼς ἐν ταῖς Πράξεσιν ἡ ἱστορία περιέχει· ὅτε δὲ ἠνδρώθη καὶ ᾠκοδομήθη ἤδη εἰς τελειότητα πνευματικὴν ἀναπλασθεὶς καὶ »βοηθὸς« ἀπειρηάσθη καὶ »νύμφη« τοῦ λόγου, τὰ σπέρματα τῆς ζωῆς ὑποδεξάμενος καὶ συλλαβών, τὸ τηνικαῦτα ὁ πρότερον χρηματίσας παιδίον ἐκκλησία γίνεται καὶ μήτηρ, ὠδίνων καὶ αὐτὸς τοὺς δἰ αὐτοῦ τῷ κυρίῳ πεπιστευκότας, ἔστ᾽ ἂν καὶ ἐν τούτοις ὁ Χριστὸς ἀποτεχθῇ. »τεκνία« γάρ »μου« φησίν »οὓς πάλιν ὠδίνω, ἄχρις οὐ μορφωθῇ Χριστὸς ἐν ὑμῖν« καὶ πάλιν »ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἔγὼ ὑμᾶς ἐγέννησα«. οὐκοῦν ταύτῃ συνέστηκεν εἰς τὴν ἐκκλησίαν ἀναφέρεσθαι καὶ τὸν Χριστὸν τὸ κατὰ τὴν Εὐαν θεώρημα καὶ τὸν Ἀδάμ. τοῦτο γὰρ τὸ μέγα μυστήριον. ὡς ἀληθῶς καὶ ὑπερκόσμιον, ὃ ἐγὼ δι᾽ ἀδθένειαν καἰ ἀμβλύτητα νοὸς κατ᾽ ἀξίαν τε καὶ μέγεθος εἰπεῖν ἀδυνατῶ. ὅμως δ᾽ οὐν ἐπιχειρτέον· λέγειν γὰρ ἐπόμενον ἂν εἴη λοιπὸν δὴ καὶ τὰ καθεξῆς πρὸς ὑμᾶς.

Ὁ γάρ τοι Παῦλος εἰς ἁγιασμὸν ἐκκαλούμενος πάντας καὶ σωφροσύνη, ταύτῃ τὸ κατὰ τὸν πρωτόπλαστον καὶ τὴν Εὖαν κατὰ δευτέραν ἐπαπόρησιν εἰς Χριστὸν ἀνηκόντισε καὶ τὴν ἐκκλησίαν πρὸς τὸ τοὺς ἀνεπιστήμονας κατασιγᾶσθαι γυμνουμένους προφάσεω. ἀκολασταίνοτες γὰρ διὰ τὰς ὑπερβαλλούσας ῥύσεις ἐν αὐτοῖς τῶν ἡδυπαειῶν παρὰ τὸν ὀρθόδοξον βιάζεσθαι τολμῶσι λογισμὸν τὰς γραφάς, ὥσπερ ἔρυμα προανατείνοντες ἀκρασίας τό τε »εἶπεν ὁ θεός· αὐξάνεσθε καὶ πληθύνεσθε« καὶ τό »ἕνεκεν τούτου καταλίψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα«, οὐδὲ αἰσχύνονται κατατρέχοντες τοῦ πνεύματος, ἀλλ᾽ ὥσπερ ἐπὶ ωσπερ ἐπὶ ἔτι καὶ ἐνθωεύοντα τὸν οἶστρον ἀναρριπίζουσιν ἐξάπτοντες ἐρεθισμοῖς. διὸ μάλα δριμέως τὰς ἐπικλόπους ταύτας αὐτῶν κακοφροσύνας τε καὶ πεποιημένος προφάσεις ἐκκόπτων, ἐλθὼν εἰς τὸ διατάξασθαι, πῶς δέοι προσφέρεσθαι τοὺς ἄνδρας ταῖς γυναιξί, καὶ ἀποφηνάμενος, ὅτι οὕτως ὥσπερ καὶ ὁ Χριστὸς τῇ παραδιδοὺς« ὑπὲρ αὐτῆς, »ἵνα αὐτὴν ἁγιάσῃ καὶ καθαρίσῃ τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι«, ἀνέδραμεν εἰς τὴν Γένεσιν ἐπιμνησθεὶς τῶν περὶ τὸν πρωτόπλαστον ῥητῶν, ἐξοαλίζων εἰς τὸν προκείμενον αὐτῷ καὶ αὐτὰ νοῦν τῆς ὑποθέσεως, ὅπως μὴ παράσχῃ λαβὴν τοῖς κεφαλαίοις καταχρῆσθαι τούτοις τοὺς πρεσβεύοντας προφάσει τεκνογονίας σωμάτων παρατριβάς.

Επισκέψασθε γὰρ ὅτι σωφρονεῖν, ὦ παρθένοι, κατὰ θέλων τοὺς πεπιστευκότας διὰ πολλῶν αὐτοῖς τεκμηρίων ὑπεμφαίνειν πειρᾶται τὸ ἀξίωμα τῆς ἁγνείας· ὁτὲ μέν περὶ δὲ ὢν ἐγράψατέ μοι« λέγων »καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι«, αὐτόθεν δείκνυσι ἤδη περιφανῶς τὸ μὴ προσψαύειν γυναικὸς καλόν , προτάξας αὐτὸ καὶ προεκθέμενος ἀπολελυμένως. εἶτα τὴν ἀσθένειαν αὐθις

συνιδὼν καὶ τὴν ὑπέκκαυσιν τῶν ἀκρατωτέρων τὴν εἰς συνουσίαν, συνεχώρησε τοῖς μὴ δυναμίνοις ἄρχειν σαρκὸς χρῆσθαι ταῖς ἑαυτῶν ὁμεύνοις μᾶλλον ἢ παραπίπτοντας ἀσχημόνως ἐκχεῖσθαι πορνείας. ἀμέλει μετὰ τὸ ἐπιτρέψαι ταῦτα παρήγαγεν »εὐθέως τόδε »ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν«, ὅπερ εἰ δὲ μὴ δύνασθε, ὦ οὗτοι, παντάπασι σωφριβεῖν διὰ τὴν ἀκρασίαν καὶ τὴν ὑγρότητα τῶν σωμάτων, ἐπέτρεψα μᾶλλον ταῖς σφῶν αὐτῶν κοινωνεῖν γαμεταῖς, καὶ ἵνα μὴ ἐγκράτειαν ἐπαγγέλλεσθαι νομιζόμενοι πειράσησθε συνεχῶς ὑπὸ τοῦ πονηροῦ, εἰς ἀλλοτρίας ἐκφλεγόμενοι.

Φέρε γὰρα αὐτὰ τὰ κείμενα διαγρήσωμεν ἐπιμελέστερον, ὅτι μὴ ἀπολελυμένως ὁ ἀπόστολος ἐπένευσε ταῦτα τοῖς πολλοῖς, ἀλλὰ προσθεὶς τὴν αἰτίαν πρότερον, δι᾽ ἣν εἰς τοῦτο παρήχθη. ἀποφηνάμενος γοῦν »καλὸν εἶναι ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι« παρήγαγε »διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα τουτέστι διὰ τὴν ἀνάγκην τῆς πορνείας, μὴ φέρετε κολάξειν τὴν ἡδονήν. »καὶ ἑκάστη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίοις δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰφςιου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ἡ γυνή. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ᾽ ἐπιταγήν«· τεθεωρημένως δ·è σφόδρα καὶ τοῦτο. »κατὰ συγγνώμην« γὰρ ἐπεσημήνατο συμβεβουλευκέναι νῦν, καὶ οὐ κατ᾽ ἐπιταγήν«, ἐπειδὴ τὴν μὲν ἐπιταγὴν ἐπὶ τῆς σωφροσύνης καὶ τοῦ μὴ ἅπτεσθαι γυναικὸς παραλαμβάνει. τὴν δὲ συγγνώμην ἐπὶ τῶν μὴ δυναμένων, ὡς ἔφην. κολάζειν τὴν ἐπιθυμίαν. καὶ περὶ μὲν οὖν μονογάμων τε καὶ μονογαμίδων, ὧν ἡ συζυγία ἕως ἔτι καὶ αὖθις ταῦτα νομοθετεῖ· περὶ δὲ τῶν ἀποβαλομένων ἤδη <τὰς< γαμετὰς ἀνδρῶν ἢ τοὺς σύζυγας πάλιν αὐτὴν ἀκριβῶς ἐξιχνευτέον τοῦ ἀποστόλου τὴν φωνήν, ὅ τί ποτε χρησμῳδεῖ. »λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐτοῖς, ἐὰν οὕτως μείνωσιν, ὡς καὶ ἐγώ. εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν· κρεῖσσον γὰρ γαμῆσαι ἢ πυροῦσθαι.. ἐπέμεινε καὶ ἐνθάδε προκρίνων τὴν ἐγκράτειαν. ἑαυτὸν γὰρ παράδειγμα μέγιστον λαβὼν εἰς τὸ ζηλῶσαι τοὺς ἀκροατὰς προεκαλέσατο ταύτην τὴν ἔνστασιν, κρεῖττον εἶναι διδάξας τὸν ἐπὶ μιᾷ γαμετῇ συνεζευγμένον ἐφ᾽ ἑαυτῷ μένειν, ὥσπερ δὴ καὶ αὐτός. εἰ δ᾽ αὐ τοῦτο διὰ τὴν ἐκπύρωσιν καὶ τὴν ἀκμὴν τοῦ σώματος δυσκαόρθωτον εἴη τινί, εἰς δεύτερον κατὰ συγγνώμην παρελθεῖν τὸν οὕτως ἔχοντα γάμον, οὐκ αὐτὸ τοῦτο τὴν διγαμίαν ἀποφηνάμενος εἶναι καλόν, ἀλλ᾽ ἄμεινον κρίνας τῆς ἐκπυρώσεως. ὥσπερ γὰρ εἴ τις ἡμέρᾳ τοῦ πάσχα καὶ τῆς ἐΐσφαλῶς ἐπισφαλῶς νοσηλευομένῳ προσέφερε τροφὴν καὶ ἐκέλευε διὰ τὴν ἀσθένειαν ἀπογεύεσθαι τῶν προσφερομένων τούτων, λέγων· Ὡς ἄρα τὸ μὲν ἀληθῶς, ὦ οὗτος, καλὸν † ἐχρῆν ὥσπερ δὴ καὶ ἡμᾶς καὶ σὲ καρτερῶς διαμείναντα τῶν αὐτῶν . . μεταλαβεῖν (ἀπηγόρευται γὰρ σήμερον διαίτης ἐπιμνησθῆναι τὸ σύνολον)· ολον)· ἀλλ᾽ ἐπειδὴ νόσῳ προκατασχεθεὶς ἐξησθένησας καὶ οὐ δύνῃ φέρειν, ταύτῃ δὴ συγγνώμην ἀπονέμοντες συμβουλευόμεν σιτίων ἐπορέξασθαί σε. ἵνα μὴ παντάπασι διὰ τὴν

νόσον οὐ δυνηθεὶς ἀντισχεῖν πρὸς τὴν ἐπιθυμίαν τῆς τροφῆς διαφθαρῇε· οὕτω δὴ καὶ ὁ ἀπόστολος ἐνθάδε, πρότερον εἰπὼν ὅτι βούλοιτο πάντας καὶ σώφρονας, ὥσπερ δὴ καὶ αὐτός, τὸ μετὰ ταῦτα τοῖς νόσῳ τῶν παθῶν, ἵνα μὴ πορνεύσαντες πάντῃ λυμανθῶσιν, τῶν παιδογόνων μελῶν τοῖς γαργαλισμοῖς εἰς ἐπιμιξίας ὀθνείων σπερμάτων, ἐπέτρεφε τὴν διγαμίαν, μᾶλλον κρεῖσσον αὐτὴν εἶναι κρίνας τοῦ »πυροῦσθαι« καὶ ἀσχημονεῖν.

Καὶ περὶ μὲν ἐγκρατείας καὶ γάμων καὶ σωφροσύνης καὶ κοινωνίας ἀνδρῶν, καὶ ἐν τίνι τούτων τὸ ὠφέλιμόν ἐστιν εἰς δικαιοσύνης κατασκιυήνι σχεδὸν ἤδη μοι τέλος ἔχεν· περὶ δὲ εἰρῆσαθαι λείπεται λοιπόν, εἴ τι καὶ περὶ ταύτης ἄρα οὐκοῦν καὶ τούτων πέρι διαληπτέον. ἔχει γὰρ ὠδε· »περὶ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν χειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ οὕτως εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ λάβῃς, οὐχ ἥμαρτες, καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομια.« λίαν εὐλαβῶς τὸν περὶ παρθενίας εἰσηγησάμενος λόγον καὶ μέλλων συμβουλεύειν γαμίζειν τὴν ἑαυτοῦ παρθένον ὅτῳ φίλον, ὅπως δὴ μηδὲν τῶν εἰς ἁγιασμὸν ἀναφερομένων κατ’ ἀνάγκην καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς (τοῦτο γὰρ πρόσφορον θῷ), οὐ βούλεται ἐξ αὐθεντίας αὐτῷ ταῦτα καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γαμίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε« σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκαταθεσιν, κατὰ συγγνώμκκκκην ἀνθρωπίνην ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ’ οὐ κατὰ θείαν. εὐθέως γοῦν μετὰ τὸ εἰπεῖν »καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε« ἐπήγαγε τό »θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι«, ὃ δή ἐστιν· ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα συνεθέμην, ἐπειδήπερ οὕτως αὐτοὶ φρονεῖν εἴλεσθε, ὅπως δὲ μὴ δόξω κατὰ βίαν ἐπισπέρχειν ὑμῶν εἰς τοῦτο καὶ καταναγκάζειν τινάς. ὅμως δὲ εἰ καὶ ταύτην φίλον ὑμῖν μᾶλλον τρέπεσθαι ἀποδυσπετήσαντας ἁγνείαν βασιτάσαι, καὶ οὕτως λυσιτελεῖν ἡγοῦμαι κρατεῖν ὑμᾶς τῶν τῆς σαρκὸς ἐρεθισμῶν, μὴ παραχρωμένους διὰ τὸ γεγεαμηκίναι τοῖς ἑαυτῶν σκεύεσιν εἰς ἀκαθαρσίαν. ἐπιφέρει γοῦν »τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς λοιπὸν συνεσταλμένος ἐστίν , ἕνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν.« εἶτα αὐθις ἐπιμένων καὶ προκαλούμενος ἐπὶ τοῖς αὐτοῖς ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς κρατύνων τὴν ἔνστασιν τῆς παρθενίας. ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρημένοις ἐπεφώνησε »θέλω δὲ ἀμερίμνους ὑμᾶς εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίω· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.α πᾶσι γὰρ ἀναμφισβητήτως ἐστὶ καταφανές, ὡς ἄρα μεριμνᾶν τὰ τοῦ κυρίου καὶ ἀρέσκειν τῷ κυρίῳ πολλῷ ἄμεινον τοῦ μεριμνᾶν ἐστι τὰ τοῦ κόσμου καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως ἠλίθιος καὶ πηρὸς τὰς ὄφεις, ὃς οὐκ αὐτόθεν αἴσθεται τὴν παραίνεσιν τοῦ Παύλου τὸ

πλέον ῥέπουσαν εἰς ἀγνείαν; »τοῦτο γάρ« φησί πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὐσχημον«.

Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις ὅπως καὶ θεοδώρητον εἶναι τὸ τῆς παρθενίας ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρεληλυθτας ἀποβάλλεται συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς σφυγμοὺς φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σρκὸς ἀσχημονῶσιν οἰστρηλατούμενοι τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. »εἰ δέ τις ἀσχημομεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει« φησίν »ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γενέσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει γαμείτσαν«, οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς ἀσχημοσύνης ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυσανασχετούντων δὲ τὸ μετὰ ταῦτα καὶ ἀποκαμνόντων, καὶ λόγῳ μὲν δι᾽ αἰδῶ τὴν χρὸς τοὺς ἀνθρώπους αὐχούντων ἐπιμένειν, ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδιατρίψαι δυναμένων. τῷ μέντοι αὐτοκρατορικῇ καὶ αὐθαιρέτῳ κρίνοντι προθεσει »τηρεῖν τὴν ἑαυτοῦ« σάρκα »παρθένον« καὶ μὴ ἔχοντι »ἀνάγκην«, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν ὀσφῦν εἰς συνουσίαν (εἶναι γὰρ δὴ καὶ διαφοράς, ὡς εἰκός, σωμάτων), τούτῳ καὶ διαθλοῦντι καὶ σπουδαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ, καὶ ταύτην ἄριστα διαπεραινομένῳ παρακελεύεται μένειν καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλοτιμούμενος »τηρεῖν τὴν ἑαυτοῦ« σάρκα »παρθένον καρεῖττον ποιεῖ«, ὁ δὲ μὴ δυνάμενος, »τηρεῖν« δὲ νομίμως καὶ μὴ λαθροφθορῶν, »καλῶς«. καὶ περὶ μὲν τούτων αὐτάρκως. λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν , καὶ καθ᾽ ἕκαστον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ᾽ ἡμῶν λεγόμενα σκεψάσθω ἀντιπαραβάλλων, εἰ μὴ συμφωνίας πάσης ἔχονται καὶ ὁμοφροσύνης τῆς πρὸς αὐτά.

Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνεισφερω.

ΕΥΒΟΤΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον ἀφίκετο, μακρότατον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων.

ΓΡΗΓ. Ἔοικεν οὕτως ἔχειν· ἀλλ᾽ ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσατες μιμητικώτατα διέλθωμεν, ὧν ἔτι ἐναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι καὶ διαφυγεῖν·

εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων
μνημαι γεροντων.

ΕΓΒΟΓΛ. Ἀλλὰ λέγε· τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν λόγων.

ΓΡΗΓ. Καὶ μὲν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν δρόμοις ἀκυμάντοις εἰς τὴν γῆν ἡ Θεοπάτρα ἐφεξῆς ὑπολαβοῦσαν ἑαυτὴν ἔφη εἰπεῖν τάδε.

Book 4: Λόγος δ΄. θεοπάτρα

Εἰ μὲν ἐπὶ τῶν αὐτῶν, ὠ παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, ὀὐδεμία ἂν ὑπῆρχε μηχανὴ τοῦ οὐκ ἀποκναίειν ἐπιχειροῦσαν τοῖς ἤδη προηγωνισμένοις. εἰ δὲ μυρίαι μὲν λόγων ὁρμαὶ καὶ διέξοδιο, »πολυμερῶς καὶ πολυτρόπως« ἐπεισπνέοντος ἡμᾶς τοῦ θεοῦ, τίς η ἀποκλήρωσις ἐγκαλύπτεσθαι καὶ δειλπιᾶν; οὐκ ἀνυπαίτιος γὰρ ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμῇ λόγοις εὐχαριστηρίοις. διὸ φέρε καἰ ἡμεῖς ὑμνήσωμεν τῶν χαρισμάτων τὸ καλλιφεγγὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν. εὐρυτάτη γὰρ ἡ τοῦ πνεύματος αὕτη καὶ ἄφθονος ὁδός. πόθεν οὐν ἀπαρξάμεναι δὴ πρέποντα δόξομεν καὶ εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον.

Ἐγὼ γὰρ ἀκριβῶς ᾐσθῆσθαί μοι δοκῶ, ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκαταστάσεως καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς καἰ τῆς πρὸς τὸν θεὸν καταλλαγῆς οὐδὲν αἴτιον οὕτως ἄλλο γέγονε καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωήν, ὡς ἁγνεία. πειράσομαι γὰρ ᾗ διανοοῦμαι περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα σαφῶς τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν ἐγενήθη γνῶτε. τὸ γοὺν ἀρχαῖον, μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη καὶ φερόμενον σφοδρῶς συρμοῖς ἐξαισίοις οὐ μόνον ἔξωθεν ἀτάκτως παρεφέρετο ἀλλ’ ἤδη καὶ ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. συνεχῶς τοῦτο πάσχουσαι κωφαὶ καὶ δουμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγήσασαι τὰ σφέτερα σκάφη παρὰ τὸ μὴ ἔχειν βεβαίου τινός. αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστήμονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόντων παθῶν ἡττηθεῖσαι. προσδέξωνται τὰς ἐπιφορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς εὐθείας ὁρμῆς ἐμποδίζουσι σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὐήνιον πορεύεσθαι κατὰ φύσιν κύτος. ὅθεν οὐν ὁ θεὸς οἰκτειρήσας ἡμᾶς ἡμᾶς οὕτως καἰ οὔτε ἀνασχεῖν οὔτε ἀνασφῆλαι δυναμένους κατεπερμψεν ἐξ οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν ἁγνείαν, ὅπως ἐξ αὐτῆς ἀποδήσαντες ἡμῶν τὰ πλοίων δίκην γαληναίως ἔχωμεν ὁρμισθέντες τῆς φθορᾶς, καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν τῷ ἑκατοστῷ κοστῷ φέρεται ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἱλαρῶς αἱ ψυκαὶ τῷ θεῷ, ὁπόσαι δὴ παραληφθεῖσαι καὶ καρατηθεῖσαι περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι ὑπὸ τῶν ὑλικῶν

καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν Φαραὼ φασι τύπον ἀπενέγκασθαι <τὸν> κατὰ τὴν τοῦ διαβόλου, ἐπειδὴ τὰ μὲν ἄρρενα ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι, τὰ δὲ θήλεα ζῳογονεῖσθαι. καὶ γὰρ καὶ ὁ διάβολος βασιλεύων »ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωυσέως« τῆς μγεάλης Αἰγύπτου, τοῦ κόσμου, τὰ μὲν ἄρρενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ παραφέρεσθαι καὶ ἀναιρεῖσθαι παθῶν σπουδὴν ἔσχε, τὰ δὲ σαρκικὰ σαρκικὰ καὶ αἰσθητὰ αὐξάνεσθαί τε καὶ πληθύνεσθαι γλίχεται.

Ἀλλὰ γὰρ ἵνα μὴ πα ρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν ψαλμὸν ἐν χερσὶν ἐξηγησώμεθα λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι τῷ θεῷ, »ἐπὶ τῶν ποταμῶν« λέγουσαι »Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκεῖ ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν«· ὄργανα καλοῦσαι τὰ σκηνώματα σαφῶς ἀνεκρέμασαν ἀπὸ τῶν πεισμάτων τῆς ἀγνείας ἐξάψασαι τοῦ Μου ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσι ἑρμηνευομένη, τὸν περίρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα καθ’ ὃν ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων ἀεί. διὸ καὶ περιδεεῖς ἐσμεν καὶ κατολοφυρόμεθα καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα μὴ κατολισθήσωσιν ἡμῶν ἀπορρηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ ἧς ἠγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας τὴν ἰτέαν πανταχοῦ παραλαμβάωουσιν αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ἀποτριβέν, ἐὰν ποθῇ , πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν, ἔστ᾽ ἂν εἰς ἄρδην ἀποστειρώσῃ καὶ ἄγονον πᾶσαν τὴν ἐπὶ παιδοποιίαν φοράν· ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. καὶ ἐν Ἠσαΐᾳ δὲ οἱ δίκαιοι ὡς ἰτέα λέγονται φύειν ἐπὶ παραρρέον ὕδωρ. εἰς ὕφος γὰρ τότε τὸ τῆς παρθενίας ἔργος μεγεθύνεται σφοδρῶς τε καὶ ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων. ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ παρθενία, ἵνα δὴ καὶ ἀνακρεμάσαι τὸ ὄργανον ἀπ αὐτῆς ἑαυτοῦ δύνηταί τις.

Εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ἐρύματα τῆς ἡδυπαθείας εἰσίν , ὡς οἱ σοφοί φασι, τὰ συγχύνοντα καὶ ταράσσοντα τὴν ψυχήν, ἀνάγκη τὰς ἰτέας εἶναι τὴν σωφροσύνην, ἀφ᾽ ἧς ἀνακρεμῶντες ἀνέλκομεν τὰ ὄργανα τὰ παιδογόνα ταλαντούμενα κάτω καὶ βρίθοντα τὸν νοῦν, ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχρίμπτωνται καὶ τὰς σηπεδόνας. χρησιμωτάτην γὰρ καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ θεὸς ἐδωρήσατο, σύμμαχον ἀποστείλας τοῖς ὀριγνωμένοις καὶ ποθοῦσι, καθῶς ὁ ψαλμῳδὸς ὑφηγεῖται, τὴν Σιών, ὃ δή ἐστι τὴν ἔκλαμπρον ἀγάπην τὴν περὶ αὐτῆς ἐντολήν, ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκοπιᾶς ἑρμηνεύεται. — ὧδε γὰρ ἀναλογισώμεθα πάλιν καὶ τὰ ἑξῆς. τί δή ποτε ἐπηρωτῆσθαι πρὸς τῶν αἰχμαλωτιστῶν ὁμολογοῦσιν αἱ ψυχαὶ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾇσαι κυρίου

ἢ πάντως, ὅτι τὸ εὐαγγέλιον ἱερὰν ᾠδὴν εἶναι καὶ ἀπόρρητον διδάσκουσιν, ἣν οἱ ἁμαρτάνοντες καὶ μοιχώμενοι τῷ πονηρῷ προσᾴδουσιν; ἐξέρχονται γὰρ τὰς ἐντολάς, τὸ θέλημα »τῶν πνευματικῶν« τελοῦντες »τῆς πονηρίας«, καὶ ῥίπτουσι »τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων«, ὅν τρόπον τρόπον κἀκεῖνοι περὶ ὧν ὁ δυσχεραίνων φησί· »καὶ ἀνέγνωσαν ἔξω νόμον.. οὐ γὰρ ὅτι πυλῶν ἔξω τῆς Ἱερουσαλὴμ ἢ ταῖν οἰκιῶν ἀνεγέιννσκον ἐξιόντες Ἰουδαῖοι τὸν νόμον, διὰ τοῦτο δὴ καὶ ὁ προφήτης ἰσχυρῶς αὐτῶν κατηγορεῖ καὶ ὑπευθύνους ἐγκλήματι βοᾷ γεγονέναι, ἀλλ’ ὅτι τὰς ἐντολὰς καὶ ἀσεβοῦντες εἰς τὸν θεὸν ἐπιμεμορφασμένως μὲν ἀνεγίωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα, κατὰ ψυχὴν δὲ οὐκ ἐδέχοντο μετὰ πίστεως ἴσχοντες, ἀλλ’ ἀπέπτυον »ἔργοις ἐντεῦθεν γὰρ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾄδουσι κυρίου, ταπεινότερον περιέλκοντες καὶ ἐξηγούμενοι τὸν νόμον, βασιλείαν αἰσθητὴν προσδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς αλλοτρίας, ἣν παρελεύσεσθαι λόγος, τιθέμενοι τὰς ἐλπίδας, ἔνθα οἱ αἰχμαλωτίζοντες δελεάζουσιν ἡδοναῖς λοχῶντες πρὸς ἀπάτην.

Ἐοίκασι δὲ καὶ οἱ προσᾴδοντες τὸ εὐαγγέλιον ἄφροσιν ἐπὶ γῆς ἀλλοτρίας« μελῳδεῖν »τὴν ᾠδὴν κυρίου«, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός. ἀλλ’ αἱ τὸ καθαρώτατον καὶ φαιδρὸν καὶ ἀμιγὲς καὶ εὐλαβὲς καὶ εὐπρεπὲς τῆς παρθενίας ὑποδῦσαι καὶ ἀναλάμψασαι κάλλος, καὶ στεῖραι καὶ ἄγονοι τῶν ῥευστῶν καὶ ἀλγεινῶν εὑρεθεῖσαι »ἐπὶ γῆς ἀλλοτρίας« οὐ μελῳδοῦσι »τὴν ᾠδήν«, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε, μηδὲ προστετήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν τῶν ἐντολῶν, ἀλλ᾽ εὖ καὶ γενναίως μετὰ φρονήματος ὑφηλοῦ τὰς ἐπαγγελίας ἄνω περιαθροῦσι, τὸν οὐράνιον διφῶσαι καὶ σύμφυτον τόπον. ὅθεν ἀγάμενος αὐτῶν ὁ θεὸς τὰ φρονήματα »μεθ᾽ ὁρκωμοσίας« ἐξαιρέτους ἐπαγγέλλεται διδόναι τιμάς, »ἐν ἀρχῇ τῆς εὐφροσύνης« προανατάσσων καὶ προκαθιδρύων. λέγει γὰρ ὧδε »ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησεθείη ἡ δεξιάμου μου. κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου«, Ἱερουσαλὴμ τὰς ἀμιάντους αὐτὰς δὴ ταύτας, ὡς ἔφην, ἀπήμονας ψυχὰς εἶναι λέγων, αἵτινες ἄτρυγον τὸ αὐστηρῶς ἀμολύντοις χείλεσι σπασάμεναι πόμα, »ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν« καθαρμόζονται »παραστῆσαι Χριστῷ« κατ᾽ οὐρανόν, »τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι«. ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ παρεγγυᾷ »φωτίζου, φωτίζου« λέγων »Ἱερουσαλήμ· ἦκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε«. ταῦτα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανάστασιν τελεσιουργηθήσεσθαι δῆλον καὶ παντί. οὐ γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ Ἰουδαίαν πολίχνης τὸ πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανοπόλεως ὡς ἀληθῶς ἐκείνης καὶ μακαρίας Ἱερουσαλήμ, ἣν δή φασιν αὐτὴν εἶναι τὸ ἄθροισμα τῶν ψυχῶν, ἃς προανατάξασθαι πρώτας »ἐν ἀρχῇ τῆς εὐφροσύνης‘ τῶν καινῶν αἰώνων ἀνεπισφαλῶς ὁ θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ τῆς παρθενίας ἐστολισμένας κόσμῳ κατοικίζων , ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον ἀποδύσασθαι τὸν νυμφικόν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις.

Ἀμέλει τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρθένον τὴν στηθοδεσμέιδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ χαλάσαι τὸν δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περισπασμοῖς. στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται· ἡ δὲ στηθοδεσμίς, ἡ συνδοῦσα ζώνη καὶ συσφίγγουσα τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς θεὸν ἀγάπη, ἥν τε καὶ ὑμῖν ὁ στρατηγὸς ἡμῶν καὶ ποιμὴν Ἰησοῦς καὶ ἀρχων καὶ νυμφίος, ὦ καλλιπάρθενοι, ἄρρηκτόν τε καὶ ἐσφραγισμένην μέχρι »τέλους« τηρῆσαι παράσχοι. τούτου γὰρ τοῦ κτήματος τοῖς ἀνθρώποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λάβοι ἀρέσκον θεῷ καὶ προσφιλές. διὸ ἐγὼ χρῆναί φημι τὴν ἁγνείαν ἅπαντας τιμᾶν καὶ διαφεόντως ἀσκεῖν τε καὶ ἐγκωμιάζειν.

Αὐταί σοι καὶ παρ’ ἡμῶν αἱ ἀπαρχαὶ τῶν λόγων ἀνακείσθωσαι· ὠ Ἀρετή, τὰ μὲν παιδιᾶς, τὰ δὲ καὶ σπουδῆς χάριν.

Ἀλλὰ δέχομαι τὸ δῶρον, ἴφη φάναι τὴν Ἀρετήν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλλουσαν λέγειν· δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον.

Book 5: Λόγος έ. Θάλλουσα

Τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν καὶ πρὸς ἑαυτήν τι σκεψαμένην εἰπεῖν ἔφη· Ἀλλ᾽ , ὦ Ἀρετή, συλλήπτειραν ἀξιῶ παραστῆναί σε κατὰ νοῦν, ὅπως πρῶτον μὲν σοῦ, καὶ τῶν παρόντων δὲ φανῶμεν ἄξια λέγειν. τὸ γὰρ μέγιστον καὶ ἐπιφανέστατον ἀνάθημα καὶ δῶρον, οὐ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν ἀνθρώποις θεῷ, τὸν ἅθλον τῆς παρθενίας εἶναι πέπεισμαι διαρκῶς, ἀπὸ τῶν ἱερῶν ᾐσθημένη γραμμάτων. οὐ γὰρ ἄν, πολλὰ πολλῶν κατ᾽ εὐχὰς ἐν τῷ νόμῳ καλὰ κατεργασαμένων, μόνοι μεγάλην εὐχὴν ἐλέγοντο πληροῦν οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ βουλῇ προσενέγκαντες θεῷ. ἔχει γὰρ τὸ ῥητὸν οὕτως· »καὶ ἐλάλησε κύριος πρὸς λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ερεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἁφαγνίσασθαι ἁγνείαν κυρίῳ«. εὔχεται χρυσᾶ καὶ ἀργυρᾶ εἰς τὸν νεὼν σκεύη προσκομίσας ἀναθεῖναί τις, ἕτερος ἀναθεῖναι τὴν δεκάτην τῶν καρπῶν, ἄλλος τῆς οὐσίας, ἕτερος τὰ κράτιστα τῶν ποιμνίων, ἄλλος τὴν ὕπαρξιν καθιεροῖ, καὶ οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι λέγεται τῷ κυρίῳ, ἀλλ᾽ ἐκεῖνος ὁ ἑαυτὸν ἀναθεὶς τῷ θεῷ ὁλοτελῶς.

Ἐπιχειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς ὑμᾶς, ὦ παρθένοι, τὴν κατὰ τὸ πνεῦμα διάνοιαν δηλῶσαι τῆς γραφῆς. ὁ γὰρ κατά τι μόριον φυλασσόμενος καὶ προσέχων, κατά τι δὲ περισπώμενος καὶ πλημμελῶν ὅλος οὐκ ἀνάκειται θεῷ· χρῆν γὰρ τὸν τέλειον πάντα ἀναθεῖναι καὶ τὰ τῆς ψυχῆς καὶ τὰ τῆς σαρκός ὅπως ἄρτιος εἴη καὶ μὴ ελλιπής, ταύτῃ γὰρ δὴ καὶ τῷ Ἀβραὰμ ὁ θεὸς ὑφηγεῖται, λάβε μοι« λέγων »δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα καὶ περιστεράν«, ὃ ἐστιν εὐφήμως ἐπίστησον γὰρ ὅτι περὶ τούτων κἀκεῖνο παρεγγυᾷ· προσένεγκέ μοι καὶ φύλαξον ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ τὴν σάρκα καὶ τὸν λογισμόν, τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ ὡς κριόν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐκπέσῃ καὶ ἐξολισθήσῃ τῆς ἀληθείας· οὕτω γὰρ ἐντελὴς ἴον καὶ ἀνεπίληπτος, ὦ Ἀβραάμ, ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἴφη καὶ αἶγα καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανῃρημένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον , βουλόμενος, ὡς ἐνι μάλιστα, καὶ τὸν τῶν παίδων καὶ τὸν τῶν ἀνδρῶν καὶ τὸν τῶν γεραιτέρων χρόνον σωφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι. καθ᾽ ὃν τρόπον καὶ ὁ κύριος ἡμῶν

ἐν εὐαγγελίοις παρακελεύεται Ἰησοῦς Χριστός, ὠδε νομοθετῶν· οἱ λύχνοι ὑμῶν‘« μὴ σβεννύσθωσαν, καὶ »αἱ ὀσφύες ὑμῶν μὴ λυέσθωσαν. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί ἐστε, ὁτι ἀνακλινεῖ ὑμᾶς καὶ παρελθὼν διακλονήσει· κἂν τῇ κἂν τῇ τρίτῃ, μακάριοί ἐστε.‘ ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτός, ἑσπερινὴν καὶ δευτέραν καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ παρουσίας, ᾧ παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλικίας ᾐνίξατο μεταβολάς, τὴν μειρακιώδη καὶ τὴν πρόσηβον καὶ τὴν πρεσβυτικήν, βουλόμενος, ἵνα κἂν τὴν πρώτην ἄγοντας ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος <ἐκ> τοῦ κόσμου, ἑτοίμους καὶ καθαρούς, μηδὲν ἐπιτετηδευκότας σκαιόν, κὰν τὴν δευτέραν ὁμοίως, κἂν τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ ἀνθρώπου καὶ ἡ νεότης, καθ’ ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικόν, ἐπιθολούμενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ τρεπομένης εἰς πάθη. δευτέρα δέ, ὁπηνίκα λοιπὸν »εἰς ἄνδρα τέλειον« ἐλάσας ἄρχεται στάσιν καὶ βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν καὶ τῆς οἰήσεως. τρίτη δέ ὅτε αἱ πλεῖσται φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς κα) εἰς γῆρας προκοπτούσης.

Διὸ προσῆκεν ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν ὀσφῦν ἀναζωσαμένους τῇ σωφροσύνῃ , ἐγρηγορέναι καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον , ἵνα, κἄν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινας βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ, ἐλθὼν καὶ εὑρὼν ἑτοιμοτάτους καὶ ἃ προσέταξεν ἐργαζομένους, ἀνακλίνῃ εἰς Ἀβραὰρ κόλπους καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ Ἰερεμίας δέ »ἀγαθόν« φησίν »ἀνδερί, ὅταν ἄρῃ ζυγὸν βαρὺν ἐν νεότητι αὐτοῦ‘ καὶ »ἀπὸ τοῦ κυρίου« οὐ μὴ »ἀποστῇ ἡ ψυχὴ αὐτοῦ.. ἀγαθὸν γὰρ ἐκ παίδων ὡς ἀληθῶς ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσοχῇ μὴ ἀποσείσασθαι μέχρι γήρως τὸν ἐπιβάτην καθαραῖς φρεσὶν ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὰ χείρω καθέλκοντος τοῦ πονηροῦ. τίς γὰρ οὐ τὰς δι’ ὀμμάτων, τίς δ’ οὐ τὰς δι’ ὤτων, τίς δ’ οὐ τὰς διὰ γεύσεως ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς καὶ τέρψεις ἀποδέχεται, τὸν ἡνίοχον μὴ φέρων, σωφροσύνην εἴργουσαν καὶ καθαιμάττουσαν τὸν ἵππον τῆς κακίας; ἕτερος ἔν οὖν εἰς ἕτερα ἐπιβλέψας ἄλλα δοξάσει, ἡμεῖς δὲ ἀνατιθέναι λέγομεν τελείως ἑαυτὸν τῷ θεῷ, ὅς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, παρθενίαν ἀσκῶν. περισπουδάστους γὰρ καὶ μεγάλας ἐλπίδων δωρεὰς τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπομαρίνουσα πάθη καὶ ὑπεκκαύματα. — φέρε γὰρ εἰσηγήσωμαι, πῶς ἀνακείμεθα τῷ κυρίῳ.

Τὸ γοῦν »μεγάλως εὔξασθαι εὐχήν«, ἐν τοῖς Ἀριθμοῖς νομοθετούμενον, τοῦτο παρίστησιν , ὅπερ ἐπὶ πλέον ἐγὼ διηγησαμένη ἀποφανῶ, μεγάλην εὐχὴν εἶναι παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα τὴν ἁγνείαν. τότε γὰρ ἀνάκειμαι προφανῶς πᾶσα τῷ κυρίῳ, ὁπότε μὴ μόνον τὴν σάρκα συνουσίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν ἀτοπημάτων ἄσπιλον τηρεῖν ἀγωνίζομαι. »ἡ γὰρ ἄγαμος μεριμνᾷ. φησί τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ«. οὐ μόνον ἵνα μὴ χωλὴν τῆς ἀρετῆς κατά τι μόριον ἀπενέγκηται τὴν δόξαν, ἀλλ’ ἄμφω, κατὰ τὸν ἀπόστολον , καὶ ἐν τῷ

πνεύματι καὶ ἐν τῷ σώματι« ἁγιάζηται, ἀναθεῖσα τὰ μέλη κυρίῳ. τί γάρ ἐστι τὸ ἀναθεῖναι τελείως ἑαυτὸν κυρίῳ, λεκτέον. ἐὰν ἐπὶ τῶνδε μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε δὲ καταλείσω, οἷον ἀνοίξω μὲν περὶ τὰς ἐξηγήσεις τῶν γραφῶν εἰς τὸ ὀρθοδόξως ὑμνῆσαι καὶ μεγαλοπρεπῶς κατὰ δύναμιν τὸν θεόν, κατακλείσω δὲ » θύραν‘ αὐτῶ θεμένη καὶ φυλακὴν‘ <τπῦ > μάταια μὴ λαλεῖν, ἀγνεύει μου τὸ στόμα καὶ ἀνάκειται τῷ κυρίῳ, »ἡ γλῶσσά μου κάλαμος« γέγπμε. σοφίας ὄργανον· γράφει γὰρ δι’ αὐτῆς ἀριδήλοις ἀπὸ τοῦ βάθους καὶ τῆς δεινότητος τῶν γραφῶν φωτίζων τὸν νόμον τοῦ πνεύματος«, ὁ λόγος, ὁ κύριος, ὁ γραμματεὺς τῶν αἰώνων ὀξυγράφος, ὅτι ταχέως καὶ ὀξέως τὴν βουλὴν ἀνα- γράφεται μόνος καὶ πληροῖ τοῦ πατρός, »ὀξέως σκύλευσον‘ ἀκούων »ταχέως προνόμευσον‘. τούτου »κάλαμός« ἐστιν »ἡ γλῶσσά μου« τοῦ »γραμματέως«· ἠγνίσθη γὰρ αὐτῷ καὶ ἀνάκειται κάλαμος ὥσπερ »ὡραῖος«, ὡραιότερα γράφων τῶν τὰ ἀνθρώπινα δόγματα κρατυνόντων ποιητῶν καὶ λογογράφων. ἐὰν ἐθίσω καὶ τὰς ὄφεις μὴ ἐπιθυμεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχήμοσιν, ἀλλὰ τὰ ἄνω περισκοπεῖν, ἀγνεύουσι καὶ οἱ ὀφθαλμοὶ καὶ ἀνάκεινται τῷ κυρίῳ. ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας καὶ ψιθυρισμῶν ἀναπετάσω Χογср θεοῦ, φοιτῶσα παρὰ σοφοῖς, ἀντέθεικα καὶ τὰς ἀκοὰς τῷ κυρίῳ. ἐὰν ἀποσείσωμαι τὰς χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως, ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ, ἀγνεύουσι καὶ αἱ χεῖρες τῷ θεῷ. ἐὰν ἀφέφω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύεσθαι, ἀνατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια κοὶ θιάσους παρερχομένη,
ὅθι τ´ ἄνδρες ἁλιτροδίκαι τελέθουσιν,
ἀλλ6 εἰς τὸ κατορθῶσαι πλήρώσασά τι τῶν ἐντολῶν. τί μοι λοιπόν, ἐὰν διαγνεύω καὶ τὴν καρδίαν, πάσας τὰς διανοήσεις αὐτῆς ἀναθεῖσα κυρίῳ; φλαῦρον οὐδὲν ἐνθυμοῦμαι, κοσμικὸν οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται καὶ ὀργὴ παρ’ ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ κυρίου καὶ ἐν νυκτί· καὶ τοῦτ´ ἐστί »ἀγνείαν ἀγνεῦσαι, μεγάλην εὐξάμενον εὐχήν«.

Πειράσομαι γὰρ καὶ τὰ ἑξῆς ὑμῖν τούτων, ὠ παρθένοι, φράσαι τῶν διατάξεων, ἐπειδήπερ τῶν σφετέρων ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμοὶ περὶ παρθενίας ὄντα καὶ χρησμοὶ διδάσκοντες ὧν ἀπέχεσθαι προσήκει καὶ ἀναγωγὸν εἶναι τὴν παρθένον. γὰρ οὕτως· καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὅς ἂν μεγάλως εὔξηται εὐχὴν ἁφαγνισθῆναι κυρίῳ , ἀπὸ σίκερα καὶ οἴνου ἁγνισθήσεται, καὶ ὅζος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα καὶ καὶ κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται, καὶ σταφυλὴν πρόσφατον καὶ σταφίδας οὐ φάγεται πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ«, ὅπερ ἐστίν· ἀπὸ τοῦ φυτοῦ τῆς πονηρίας τῶν γεννωμένων ὁ κατεγγυήσας ἑαυτὸν τῷ καὶ ἀναθεὶς οὐ δρέψεται διὰ τὸ παρεκτικὸν ἀεὶ μέθης αὐτὸ xai ἐκστάσεως πεφυκέναι. δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν γραφῶν ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων γεγονέτην ἀνομοίως τε ἐχέτην. ἡ γὰρ ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική, ἡ δὲ μανίας αὐ καὶ παραφοσύνης. ἄμπελος μὲν γὰρ νηφάλιος καὶ εὐφραντική, κλημάτων δίκην ἐκ τῶν μαθημάτων τοὺς βότρυς ἱλαρῶς ἀπαιωροῦσα τῶν χαρισμάτων καταστάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν ἐστιν Ἰησοῦς ὁ λέγων

διαρρήδην τοῖς ἀποστόλοις »ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, ὑμεῖς τὰ κλήματα· ὁ δὲ πατήρ μου ὁ γεωργός«. ἀγρία δὲ κοὶ θανατηφόρος ὁ διάβολος, λύσσαν καὶ ἰὸν καὶ ὀργὴν ἀποστάζων, ὥσπερ δὴ καὶ Μωυσῆς ὑφηγεῖταιδιαγράφων περὶ αὐτοῦ· »ἐκγὰρ ἀμπέλου Σοδόμων« φησίν ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς βότρυς πικρίας αὐτῶν. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος‘. ἐκ ταύτης τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες εἰς ἄκαρπον ἀρρένων ὄρεξιν οἱστρηλατήθησαν τραπῆναι »παρὰ φύσιν«. ἐντεῦτεν οἱ ἐπὶ Νῶε κραιπαλήσαντες εἰς ἀπιστίαν κατώλισθον καὶ ὑποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ, ἐντεῦθεν ἀρυσάμενος ὁ Κάΐν τὰς μισαδέλφους ἐφοίνιξε χεῖρας καὶ ἔχρανε πρῶτος τὴν γῆν λύθρῳ συγγενικῷ, ἐντεῦθεν μεθυσκόμενα τὰ ἔθνη θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτως γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς· οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ojg ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προστέτακται τῆς μὴ γεύσασθαι ἀμπέλου μὴ γεύσασθαι τὴν παρθένον, ἵνα νηφάλιος ἄΰπονς ἀπὸ μερίμνηγς βιωτικῆς ἔκλαμπρον τὴν λαμπάδα τοῦ τῆς δικαιοσύνης ἐξάπτῃ τῷ λόπῳ. »προσέχετε« γάρ φησιν ὁ κύριος μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς καὶ ἐπιστῇ ἐφ’ ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς«.

Οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς κατὰ μηδένα τρόπον προσψαύειν τὴν παρθένον, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς καὶ παραπλησίων· σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, κἂν τε ἐκ τῶν φοινίκων καὶ ἐκ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ᾖ. ἐπιστομίζουσι γὰρ ὅν τρόπον αἱ ἐξ οἴνου προποσίαι καὶ ταῦτα σφοδρῶς τὸν λογισμόν. καὶ εἰ χρὴ φάναι λόγῳ πρὸς ὑμᾶς ἀληθεῖ, πᾶν τὸ μέθην φέρον καὶ ἔκστασιν τῇ ψυχῇ μετὰ τὸν οἶνον τὸν ἐξ ἀμπέλου σίκερα κικλήσκουσιν οἱ σοφοί. ὅπως οὐν δὴ μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται καὶ ἀντιρρόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ’ ἑτέρων δὲ κρατουμένην, τουτέστιν ἱματίων διαφερόντων ὑφαῖς ἀβρυνομένη ἢ καὶ λίθοις καὶ χρυσῷ καὶ πλεονεξίᾳ καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ σῶμα καλλωπισμοῖς, ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν· διὰ τοῦτο ταῦτα νομοθετεῖ, μὴ εἰς γυναικισμοὺς ἐκχέηται καὶ γέλωτας καὶ ἁπάτας ἀνασοβουμένη καὶ μωρολογίας, ἅ περιδινοῦσι καὶ κυκῶσι τὸν λογισμόν· ὥσπερ καὶ ἐν ἑτέροις ἐμήνυσεν, οὐ φάγεσθε τὴν ὕαιναν« εἰπών »καὶ τὰ ὅμοια αὐτῇ, καὶ τὴν γαλῆν καὶ τὰ ὅμοια <αὐτῇ>« αὕτη γὰρ ὀρθὴ πρὸς οὐρανὸν καὶ σύντομος ὀδοιπορία, τὸ μὴ μόνον ἐμπόδιον ἐφέλκεσθαί τι τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον ἑπτοημένον περὶ τὰς ἡδυπαθείας καὶ τέρψεις, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτοῖς· καὶ γὰρ θυσιαστήριον ἀναίμακτον εἶναι παρεδόδη θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν. οὕτως μέγα τι χρῆμα καὶ ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ ἄχραντον αὐτὴν καὶ καθαρὰν πάντῃ φυλακτέον, μηδὲν κοινωνοῦσαν ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ’ ἔσω κατὰ πρόσωπον τοῦ μαρτυρίου« σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρύσθαι, τὴν εὐωδίαν τῆς ἀγάπης

ἀναθυμιῶσαν κυρίῳ. »ποιήσεις« γάρ »μοι«, φησί, μετὰ τὸ θυσιαστήριον τὸ περικεχαλκωμένον (εἰς ὃ τὰ ὁλοκαυτώματα ἀνεκομίζοντο καὶ αἱ προσφοραί) ἄλλο »θυσιαστήριον ἐξ ἀσήπτων ξύλων., καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ‘, »καὶ δώσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου« κατὰ »πρόσωπον τοῦ ἱλαστηρίου«, ὅ ἐστιν » τῶν μαρτυρίων«, »ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. καὶ θυμιάσει ἐπ’ αὐτοῦ Ἀαρὼν θυμίαμα κυρίῳ] ἀρωμάτων ἐν πρωί, ὅτε ἀγαθύνῃ τοὺς λύχνους· θυμιάσει ἐπ’ αὐτοῦ θυμίαμα διαπαντὸς ἔναντι κυρίου εἰς τὰς γενεὰς ὑμῶν. οὐκ ἀνοίσεται ἐπ’ αὐτοῦ θυμίαμα ἀλλότριον καὶ ὁλοκαύτωμα· θυσίαν καὶ σπονδὴν οὐ σπείσεται ἐπ’ αὐτοῦ. «

Εἰ ὁ νόμος ἐστὶ κατὰ τὸν ἀπόστολον »πνευματικός«, τὰς εἰκόνας ἐμπεριέχων τῶν μελλόντων dyaQ-mvi-, φέρε δὴ ἀπαμφιάσασαι τὸ ἐπ’ αὐτῷ »κάλυμμα« τοῦ »γράμματος« ἐφηπλωμένον ἐπισκεψώμεθα γυμνῶς τὴν ἀκρίβειαν. μίμημα τῆς ἐκκλησίας ἐκελεύοντο δαιδάλλειν Ἑβραῖοι τὴν σκηνήν , ἵν’ ἔχοιεν διὰ τῶν αἰσθητῶν »τὴν εἰκόνα« τῶν θείων προκαταγγέλλειν »πραγμάτων«. τὸ γὰρ ἐν ὄρει παράδειγμα παρενεχθέν, πρὸς ὃ Πέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ μωυσῆς, ἰδέα τις ἦν τῆς κατὰ τὸν οὐρανὸν οἰκήσεως ἀκριβής, ἣν ἡμεῖς τρανότερον μὲν ταῖν τύποιν , ἀμαυρότερον δὲ τῆς ἀληθείας φεραπεύομεν νῦν. Με γὰρ ἀκραιφνὲς εἰς ἀνθρώπους ὡς πέφυκεν οὔπω τὸ ἀληθές, οἳ μηδὲ βαστάσσι φέρομεν ἄκρατον ἐνταῦθα θεάσασθαι σασθαι τὴν ἀφθαρσίαν, ὁπότε μηδὲ τὰς ἡλιακὰς ἀνέδην ἀκτῖνας. ἀλλ’ Ἰουδαῖοι μὲν τὴν »σκιὰν« τῆς εἰκόνος τρίτην ἀπὸ τῆς ἀληθείας κατηγγέλκασιν, ἡμεῖς δὲ τὴν εἰκόνα τῆς κατ’ οὐρανὸν διοικήσεως ἐναργῶς ἐκθειάζομεν. τὸ γὰρ ἀληθὲς ἀκριβῶς μετ’ ἀνάστασιν δηλωθήσεται, ὁπότε »πρόσωπον κατὰ πρόσωπον‘ τὴν ἁγίαν σκηνήν, τὴν πόλιν‘ τὴν ἐν τοῖς οὐρανοῖς, »ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός«, ἀλλ’ οὐ δι’ »αἰνιγμάτων« καὶ ἐκ μέρους‘ ἐποπτεύσομεν.

Ἰουδαῖοι μὲν γὰρ τὰ ἡμέτερα προανεφώνησαν, ἡμεῖς Τε τὰ οὐράνια προαγγέλλομεν, ἐπειδήπερ ἡ μὲν σκηνὴ σύμβολον ἦν τῆς ἐκκλησίας, ἡ δὲ ἐκκλησία τῶν οὐρανῶν. διὸ τούτων οὕτως ἐχόντων καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς ἐκκλησίας, ὡς ἔφην, λαμβανομένης χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν ἐκκλησίαν πραγμάτων φέρειν , καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ καὶ τῷ περιβόλῳ τῶν χηρῶν (θεοῦ γάρ εἰσιν ἔμψυχος βωμός, ἀνακομίζοντες τοὺς μόσχους καὶ τὰς δεκάτας καὶ τὰ ἑκούσια θυσίας τελοῦμεν κυρίῳ), τὸ δὲ περίχρυσον θυσιαστήριον ενδον ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνακείμενον κατὰ πρόσωπον τοῦ μαρτυρίου. εἰς ὃ θυσίαν καὶ σπονδὴν ἀναφέρεσθαι, ταῖς ἐν παρθενίᾳ παραβλητέον, τῷ ἀκηράτῳ χρυσῷ τὰ ἄσηπτα συνουσίας σώματα κατησφαλισμέναις. δύο γὰρ ἃ εἰς ἔπαινον θρυλλοῦνται χρυσοῦ,. ὅτι τε ἰὸν οὐ παραδέχεται καὶ τὴν χροιὰν ταῖς ἠλίου μετρίως παραπλησιάζειν φαντάζεται βολαῖς· σύμβολον δὲ εἰκότως ἄρα τοῦτο τῆς ἀγνείας τῆς μὴ προσιεμένης ἐστὶ κηλῖδα καὶ σπῖλον, ἀλλὰ τῷ φωτὶ καταστραπτομένης ἀεὶ τοῦ λόγου. διὸ καὶ ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων ἔστηκε πλησιέστερον καὶ ἔμπροσθεν τοῦ πετάσματος, ἀχράντοις χερσὶ θυμιαμάτων δίκην τὰς προσευχὰς ἀναπέμπουσα κυρίῳ , δεκτὰς

εἰς »ὀσμὴν εὐωδίας«. καθὼς καὶ Ἰωάννης ἐμήνυσε, τὰ θυμιάματα τὰ ἐν ταῖς φιάλαις τῶν κἰκοσιτεσσάρων πρεσβυτέρων προσευχὰς ἁγίων εἶναι φράσας.

Ταῦτά σοι ὡς ἐκ τοῦ παραχρῆμα κἀγὼ κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, συμβάλλομαι.

Book 6: Λόγος ς΄. Ἀγάθη

Εἰπούσης δὲ ταῦτα τῆς Θαλλούσης ἡ Θεοπάτρα ἔφη τῷ σκήπτρῳ τὴν Ἀρετὴν ψαῦσαι τῆς Ἀγάθης, τὴν δ’ αἰσθομένην εὐθέως ἀναστῆναι καὶ ἀποκρίνασθαι ἔτι ὅτι Μετὰ πολλῆς εὐτολμίας καὶ πειθοῦς καὶ τῆς τοῦ καλῶς εἰπεῖν ὑπολήψεως, ὦ Ἀρετή, σοῦ παρομαρτούσης πειράοομαι δὴ κατὰ δύναμιν κἀγὼ ιἰς τὸ προκίμινον Αἰσενέγκασθαί τι, κατ᾽ ἐμαυτὴν μέντοι καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ γὰρ ἂν δυναίμην ἐφάμιλλα τούτοις οὕοτω ποικίλως καὶ λαμχρῶς ἀπειργασμένοις φιλοσοφεῖν· δόξω γὰρ ἀποφέρεσθαι ψόγον ἀβελτηρίας, εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοοσι προπηδῴην. εἰ οὖν ἀνέ- ξεσθε καὶ τῶν ὅπως ἂν τευχθῇ ῥητορευόντων, ἐπιχειρῶ λέγειν, οὐδὲν προθυμίας καθυφειμένη. ἀρκτέον δὲ ἐντεῦθεν.

Ἀμήχανον, ὦ παρθένοι, κάλλος καὶ συγγενὲς τῇ σοφίᾳ καὶ πρόσ φορον ἅπαντες εἰς τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνούμεθα. ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ τῷ γεννήσαντι τότε μάλιστα καὶ πλασα- μένῳ, ὁπότε τὴν »καθ᾽ ὁμοίωσιν« ἰδέαν ἄχραντον ἐκλάμπουσαι καὶ τοὺςω χαρακτῆρας τῆς ὄφεως ἐκείνης, πρὸς ,)ν ἀφορῶν ὁ Μς ἀ8 άνατον μορφὴν καὶ όνώΜρον ἐχούσας αὐτὰς ἀπειράζετο , τοιαῦται διαμί- νουσι. τὸ γὰρ ἀτέρνητον κάλλος καὶ ἀσώματον καὶ μή τε ἀρχόμενον μήτε φθῖνον, ἀλλ᾽ ἀτρεπτον καὶ ἀρήρων καὶ ἀπροσδεὲς αὐτὸ ἐν ἐαυτφ καὶ [εἐς] αὐτὸ φῶς ἐν ἀφράστοις καὶ ἀπροσίτοις ἐναπαυόμενον, ἐζουσίας περιουσίᾳ πάντα περιέχον καὶ κτίζον καὶ μετασκευάζον ἐτε- κτήνατο »xar εἰκόνα τῆς εἰκόνος ἑαυτοῦ τὴν φυχήν. οἶό xal λοτικὴ καὶ ἀθάνατός ἐστι· ,κατ’ εἰκόνα yaQ όημιουρτηΜσa τοῦ μονοτενοῦς, ὡς ἔφην, Ανυπέρβλητον ἔχει τὸ κάλλος. οἷο δὴ καὶ .τὰ χνευματικὰ τῆς πονηρίας. ἐρῶσιν αὐτῆς καὶ ἐφεόρεύουσι, χρᾶναι βιαζόμενα τὴν ΠΓοείκελον αἳτῆς ἐκείνην καὶ ἐπέραστον ἰδέαν, ωοσπερ όὴ καὶ ὁ προφή- της Ἰερεμίας παρίστησιν ὀνειδίζων Ἰερουσαλήμ »ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύντησας ἀπέναντι τῶν ἐραστῶν σου«, τὴν παρασχοῦσαν ἑαυτὴν ταῖς ἀντικειμέναις δυνάμεσιν εἰς βεβήλωσιν λέγων. ἐρασταὶ γάρ εἰσιν ὁ διάβολος καὶ οἱ περὶ αὐτὸν ἄγγελοι, οἱ τὸ λογικὸν ἡμῶν καὶ διορατικὸν τῆς φρονήσεως κάλλος μιαλίνειν καὶ μολύνειν τῇ ἑαυτῶν ἐπιμιξίᾳ τεχναζόμενοι καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ κυρίῳ νενυμφευμένης ἐπιθυμοῦντες ψυχῆς.

Ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινὲς καὶ τοιοῦτον, ὁποῖον αὐτὸς ὁ συστησάμενος αὐτὸ καὶ ζωγραφήσας ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος φύσιν καὶ νοητήν , ἧς καὶ χαρακτήρ ἐστιν ὁ ἄνθρωπος καὶ ἀπεικόνισμα, γεγονὼς οἷον ἄγαλμά τι περικαλλέστατον καὶ ἱερόν, ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν τοὺς οὐρανούς, ὥσπερ ἐν ναῷ κατοικισθήσεται. ἄχραντον τὸ κάλλος ἡμῶν ἄριστα τηρεῖται τότε καὶ ἀσφαλῶς, ὁπόταν δὴ παρθενίᾳ σκεπόμενον ὑπὸ τοῦ καύσωνος ἔξωθεν μὴ μελαίνηται τῆς φθορᾶς, ἀλλ’ αὐτὸ ἐφ’ ἑαυτοῦ μένον δικαιοσύῃ κοσμῆται, νυμφαγωγούμενον τῷ υἱῷ τοῦ θεοῦ· ὅν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται, χρῆναι παραινῶν ὥσπερ ἐν λαμπάσιν > ταῖς σφετέραις σαρξὶ τὸ φῶς ἄσβεστον ἀνακαίεσθαι τῆς ἡγνείας, ἐπειδήπερ ὁ τῶν δέκα παρθένων ἀριθμὸς τὰς εἰς Ἰησοῦν πεπιστευκυίας ἀναμετρεῖσθαι βούλεται ψυχάς, τῷ τὴν ἀπευθύνουσαν μό νην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀποτυπούμενος. ἀλλ’ αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα καὶ σοφαί, αἱ δὲ πέντε »μωραὶ« καὶ ἄσοφοί τινες· οὐ γὰρ ἐπρομηθεύσαντο ἐλαίου σφῶν τὰ ἀγγεῖα πλήρη παρασκευάσαι, δικαιοσύνης ἀπομείνασαι κεναί. αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπισπερχομένας ἐλθεῖν καὶ πάντα εἰς τὸ συμπληρωθῆναι τὸν ἔρωτα τοῦτον κοσμίως δρώσας καὶ σωφρόνως, καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμνυνομένας τοῦτο σκοπεῖν, ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς καὶ ὥσπερ σκιαγραφούσας μᾶλλον εἴδωλον ἀρετῆς ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν.

Τὸ γὰρ λεγόμενον ὠμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες« ἔλαβον »τὰς λαμπάδας ἑαυτῶν καὶ ἐξῆλθον« ἀπαντήσουσαι τῷ νυμφίῳ, σημαίνειν βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐπαανῃρημένας, διὰ τὴν ἔμφασιν τοῦ ι ἐστείλαντο μὲν γὰρ αἱ > παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ ταύτῃ κικλήσκονται δέκα, ἐπειδὴ τὴν αὐτήν, ὡς ἔφην, εἵλοντο πρόθεσιν· οὐκέτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ τροφὴν ἄφθονον καὶ εἰσαῦθις ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατερρᾳθύμησαν, τοῦ παρόντος μόνον ἐπιμεληθεῖσαι. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς πέντε διαιροῦνται, ἐπειδήπερ τὰς πέντε αἰσθήσεις οἱ μὲν αὐτῶν ἐφυλάξαντο καθαρὰς καὶ παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖστοι σοφίας προσηγόρευσαν πύλας, αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο φυράσασαι κακίᾳ. ἐrκρατευοάμεναι rὰρ καὶ ἀrνεύσασαι όικαιοσύνης εὐφόρησαν μa-λλον χαραπτώμασιν· ἐξ οὗ δὴ καὶ ουνέβη τῶν Μιων ἔξω περιβόλων ἀποκλεισθείσας όπaroρευθῆναι. είτε yaQ κατορθοῦμεν ἔτε πλημμε- λοῦμεν, διὰ τούτων ἐκάτερα καὶ τὰ ἀνόραταθήματα κρατύνεται καὶ τὰ κακοπρarήματα. καὶ ωοσπερ ἡ Θάλλουσα καὶ ψαλμῶν ἀrνείαν ἔφη καὶ ὤτων εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καMης αιMητη- ρIων, ουοτω όὴ καὶ ἐνταMα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν \ πέντε διόόων τῆς ἀρετῆς, ὁράσεως, rεύοεως, ὀσφρήσεως, ἁφῆς τε καὶ ἀκοῆς, πέντε προσaroρεύεται παρMνοι, διὰ τὸ τὰς πέντε τῆς αiokισεως ἀrνὰς ἀποκαταστῆσαι xcö Χριστῷ φαντασίας, ἀφ ἑκάστης αὐτῶν oia λαμπτὴρ τὴν ὁσιότητα λάμπουσa τρανῶς. ἡ rὰρ πεντάφωτος ἡμῶν ὡς dXtjd^ö^g λαμπὰς ἡ

οάρξ ἐστιν, i]v ἡ ψυχὴ βαστάζουσα ὁᾳδὸς δίκην xcö νυμφίῳ καρίσταται Χριστῷ τῇ ἡμέραι τῆς ἀναστάσεως, χαραφαίνουσa διὰ πασῶν τῶν αιΜήσεων διιΜρώσκουσαν λαμπρὰν τὴν ἐ□στιν· καθὼς αὐτὸς ἐδΛαξεν εἰπών .πῦρ ἦλθον βαλεῖν έ□ς τὴν yjjv, καὶ τί ἤθελον εἰ ἤδη όνήφθη;‘ yl]v ἡμῶν τὰ σκηνώματα φράσας, εΙς α0 ἐβούλετο ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς όιόασκαλίας αὐτοῦ καὶ διάπυρον πρa-ζιν. τὸ rὰρ ἴλαιον τῇ σοφίᾳ καὶ τῇ δικαιο- σΜνν παραβλητέον· ἀνομβρούσης rὰρ ταῦτα τῆς ψυχῆς ἀφθόνως καὶ ἐπιχεούσης xä σώματι εἰς υοψος ἀναφλέrεται τῆς όρετῆς ἀσβεοτον .τὸ φῶς, ἔμπροσθερ τῶν Μρώπωνι ἐκλάμπον τὰς πράξεις τὰς καλάς, ωοστε όοξασθῆναι .τὸν πατέρa‘ .τὸν ἐν τοῖς οὐρανοῖς‘.

Τοιοῦτον ἔλαιον ἄρα κάκεΙνοι προσέφερον ἐν τῷ Λευἰ·τικῶ, »ἄτρυγον ἔλαιον, Μαρόν, κεκομμένον καῦσαι λύχνον ἔζω τοῦ καταπετάσματος ἔναντι κυρίου«. ἀλλ’ ἐκείνοις μὲν βραχύτατον φῶς προσετέτακτο θεραπεύειν »ἀφ’ ἐσπέρας εἰς ἕω«. ὁ γάρ τοι αὐτῶν ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ προφητικῷ τὴν ἐπὶ σωφροσύνῃ φαίνοντι παρρησίαν, τρεφόμενος ἀπὸ τῶν πράξεων καὶ τῆς πίστεως τοῦ λαοῦ, ὁ δὲ ναὸς τῷ »σχοινίσματι τῆς κληρονομιας«, ἐπειδήπερ λύχνος περὶ οἶκον ἕνα μόνον δύναται φαίνειν. πρὸ τῆς ἡμέρας οὖν ἐχρῆν τοῦτον καίεσθαι τὸν λύχνον· »καύσουσι« γάρ φησιν »αὐτὸν ἕως πρωΐ«, τουτέστιν ἕως τῆς παρουσίας τοῦ Χριστοῦ. ὅτι τοῦ ἠλίου« τῆς ἀγνείας ἀνατείλαντος καὶ τῆς δικαιοσύνης. οὐ χρεία λύχνου. ὅσον μὲν οὖν ὁ λεὼς ἐκεῖνος χρόνον ἀπεθησαύριζε τὰ τρέφοντα τὸν λύχνον ἐπιχορηγῶν τὸ ἔλαιον διὰ τῶν ἔργων, ὁ λύχνος αὐτοῖς οὐκ ἔσβεστο τῆς σωφροσύνης, ἀλλ’ ἠν φαινόμενος ἀεὶ καὶ λάμπων ἐν τῷ »σχοινίσματι τῆς κληρονομίας.· ὅτε δὲ ἐπέλιπε τὸ ἔλαιον ἀπὸ τῆς πίστεως εἰς ἀκολασίαν αὐτῶν ἐκτροπαλιζομένων, ὁ λύχνος ἄρδην ἀπεσβέσθη, ἵνα δὴ πάλιν ἐξαστράψωσι τὰς λαμπάδας ἐπαλλήλοις διαδοχαῖς ἄνωθεν αἱ παρθένοι τῷ κόσμῳ πυρσεύουσαι τὴν ἀφθαρσίαν. χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔλαιον καὶ νῦν τῶν καλῶν ἔργων ἀδεῶς καὶ τῆς συνέσεως, πάσης κάτω βριθούσης ἀφυλισμένον φθορᾶς, ἵνα μὴ »χρονίσαντος τοῦ νυμφίου« σβεσθῶσιν ὁμοίως καὶ ἡμῶν αἱ λαμπάδες. ὁ γάρ τοι χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, ὁ δὲ νυσταγμὸς καὶ ἡ κοίμλησις τῶν δέκα παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου, τὸ δὲ μεσονύκτιον ἡ βασιλεία τοῦ ἀντιχρίστου, καθ’ ἥν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰκίας. ἡ δὲ κραυγὴ ἡ γεγενημένη καὶ λέγουσα »ἰδοὺ ὁ νυμφίος ἔρκεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ‘ ἡ φωνή ἐστιν ἡ ἀπὸ τῶν οὐρανῶν καὶ ἡ σάλπιγξ, ὁπότε πάντεσ ἐξαναστάντων αὐτοῖς οἱ ἅγιοι τῶν σωμάτων ἐπὶ νεφελῶν οἰχήσονται, »slg τὴν ἀπάντησιν‘ ἁρπα- σΜντες ,τοῦ κυρίού. προσεκτέον rὰρ ὅτι μετὰ τὴν κραυγὴν ἐγη-rέρθαι πάσας è□φη τὰς παρΜνους ὁ λόγος, τουτέστι μετὰ τὴν ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσαν βοὴν ἀναστήσεσθαι τοὺς νεκρούς· ωος που καὶ Παῦλος παρεΠυᾷ, ὅτι Ατὸς ὁ κύριοσ λέγων ^ev κελεύσματιι ἐν φωνῇ ἀρχarrέλου καὶ ἐν σάλπιrrι θεοῦ καταβήσεται ἀπ οὐρανοῦ. καὶ οἱ νεκροὶ ἐν Χριοτῷ ἀναστήσονται πρῶτον‘ (τουτέστι τὰ σκηνώ- ματα· ἐνεκρώθησαν rὰρ ἀπαμφιασΜντα τῶν ψυχῶν)· Π̈πειτα ἡμεῖς οἱ cῶντες ἅμα σὺν αὐτοῖς ἁρπαrησόμAaa , τὰς ψυχὰς λέγων· ἡ μεὶς rὰρ κυρίως οἱ cῶντές ἐσμεν αἱ φυχαί, αἵτινες μετὰ τῶν σωμάτων, ἀπειληφυῖαι ταῦται

ἐν νεφέλαις ὑπαντησόμεθα τὰς λαμπάόας φέρου- φέρουσαί κεκοσμημένας οὐκ ἀλλοτρίῳ καὶ κοσμικῷ κόσμῳ τινί, ἀλλὰ xm φρονήσεως καὶ σωφροσύνης, ἄστρων όίκην ἀποστιλβόντων σέλας αὐrῆς αἰθερίου πεπληρωμένον.

Ταῦτα τῶν ἡμετέρων, oj καλλιπάρθενοι, τὰ ὄργια μυστηρίων· αὗται τῶν ἐν παρΜνίᾳ μυσταγωγηΜντων αἱ τελεταί· ταῦτα τὰ ἐπίχειρα ,τῶν ἀμιάντων ἄθλων‘ τῆς σωφροσύνης. νυμφεύομαι xcö λόrῳ καὶ τὸν ἀίδιον τῆς όφθαρσίας προῖκα λαμβόνω στέφανον καὶ πλοῦτον παρὰ τοῦ πατρός, καὶ 9ἐν τοῖς αἰῶσι οτεφανηφοροῦσα πομπεύώ xd λαμπρὰ καὶ ἀμάραντα τῆς σοφίας ἄνΜι· συγχορεύω βρα- βεύοντι τῷ Χριστῷ κὰτ οὐρανὸν ἀμφὶ τὸν ἄναρχον καὶ όνώλεθρον βασιλέα ἀδύτων rέγονα λαμπαδηφόρος φώτων κω ἐφυμνῶ τὸ καινὸν μετὰ τῆς ὁμηγύρεως ἅσμα τῶν ἀρχαγγέλων, τὴν καινὴν χάριν ἐζαγ- rέλλουσa τῆς ἐκκλησίας· ξυνέπεσθαι γὰρ ἀεὶ τὸν ὅμιλον τῶν παρΜνων τῷ κυρίῳ καὶ συνθιασωτεύειν ἔνθα ἂν είη, λόγος ἠχεῖ. καὶ τοῦτο καὶ Ἰωάννης ἐν τῇ περὶ τῶν ἑκατὸν τεσσαράκοντα χιλιάδων καὶ τεσσάρων αἰνίσσεται μνήμῃ. ἴτε οὖν , ὦ νεολαία τῶν κανῶν αἰώνων, ἴτε τὰ ἀγγεῖα πληρώσατε σφῶν δικαιοσύνης· ὥρα γὰρ λοιπὸν ἐξεγείρεσθαι καὶ ὑπαντάζειν τῷ νυμφίῳ. ἴτε τὰς ἴϋγγας καὶ καὶ τὰ θέλγητρα κούφως παραμείψασαι τοῦ βίου τὰ περιδινοῦντα καὶ γοητεύοντα τὴν ψυχήν· τεύξεσθε γὰρ ταῖν ἐπαγγελμάτων,
ναὶ ”μὰ τὸν ἀμετέρας” ζωᾶς δείξαντνα κέλευθον.
Σοὶ τόνοδε πλεκτὸν στέφανον ἐκ τῶν προφητικῶν λειμώνων, ὠ Ἀρετή, κἀγὼ κοσμήσασα προσφέρω.

Book 7: Λόγος ζ΄. Πρόκιλλα

Διαπεραναμένης οὖν ἄριστα καὶ Ἀγάθης, ἴφη, τὸν λόγον καὶ εὐδοκιμησάσης ἐφ’ οἷς ἰσηγόρησεν, πάλιν ἡ Ἀρετὴ τὴν Πρόκιλλαν ἐκέλευσε λέγειν.

Ἡ δὲ ἀναστᾶσα καὶ ἔμπροσθεν παρελθοῦσα τῆς κλισιάδος ἔλεξε τοιάδε· Ἀπορρᾶθυμεῖν καὶ μετὰ τοσούτους οὐ θέμις μοι λόμους, CO Ἀρετή, ἀναμφισβητήτως πεπιστευκυῖαν τῇ »πολυποικίλῳ τοῦ θεοῦ σοφίᾳ«, , πλουσίως ἐχούσῃ διδόναι καὶ διαφόρως ὅτῳ βούλεται. καὶ γὰρ πελάγιοι πλωτῆρές φασι φέρεσθαι μὲν τοῖς ναυτιλλομένοις τὸ αὐτὸ πνεῦμα, ἄλλους δὲ τὰ περὶ τὸν πλοῦν ἀλλοίως αὐτῶν] μετα- χειριζομένους οὐκ εἰς τὴν αὐτὴν εἰσορμίσασθαι σπεύδειν· οἷς μὲν γὰρ τὸ πνεῦμα κατὰ πρύμναν οὔριον ἵσταται, τοὺς δὲ καὶ ἐξ φέρει, καὶ ὅμως ἑκατέροις ὁ πλοῦς ἀνύεται ῥᾷστα. ἀτὰρ δὴ τῆς σοφίας νοερὸν πνεῦμα καὶ ἅγιον καὶ μονογενές«, ἀπὸ πατρῴων ἄνωθεν πράως καταπνεόμενον θησαυρῶν, πάσαις ἡμῖν λιγυρὸν οὖρον πνεῦσαν γνώσεως ἐπαρκέσει τὸν δρόμον ἀλύπως ἀπευθῦναι τῶν λόγων· ἐμοὶ γὰρ καιρὸς ἤδη λέγειν.

Εἷς τρόπος Μὴς ἐπαίνων οὐτός ἐστιν, ὡ παρθένοι, καὶ σεμνός, ὁπόταν ὁ ἐπαινῶν τοῦ ἐπαινουμένου τῶν ἐπαίνων κρείττονα παρέχῃ μάρτυρα· πάρεστι γὰρ ἐντεῦθεν μαθεῖν ἀκριβῶς, ὅτι μὴ πρὸς χάριν μηδὲ ἐξ ἀνάγκης μηδὲ κατὰ δόξαν ἡ εὐφημία γίνεται τῶν λόγων, ἀλλὰ κατὰ ἀλήθειαν καὶ ἀθώπευτον κρίσιν. καὶ γὰρ οἱ πληρέ- στερον εἰσηγησάμενοι περὶ τοῦ πρὸ αἰώνων υἱοῦ τοῦ θεοῦ προφῆται καὶ ἀπόστολοι καὶ μᾶλλον αὐτὸν τῶν ἄλλων θεολογήσαντες ἀνθρώπων οὐκ εἰς ἀγγελικὴν ἀνήγαγον αὐτῷ ῥῆσιν τοὺς ἐπαίνους, ἀλλ εἰς αὐτὸν τὸν ἀνημμένον πάντων τὸ κῦρος καὶ τὸ κράτος· ἦν γὰρ ἐμπρεπὲς τὸν ἀπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα μόνῳ τῷ ἑαυτοῦ μείζονι πατρὶ χρήσασθαι μάρτυρι. καὶ δὴ καὶ τῆς ἁγνείας οὐκ εἰς ἀνθρωπίνην ἀνοίσω κάγὼ δόξαν τοὺς ἐπαίνους, ἀλλ’ εἰς αὐτόν, ᾧ μέλομεν καὶ ὅς τὸ πᾶν ἀνῄρηται, γεωργὸν αὐτῆς ἀποδεικνύουσα τοῦτον καὶ ἐραστὴν τῆς ὥρας ὄντα καὶ ἀξιόχρεω μάρτυρα. καὶ τοῦτο καὶ ἐν τῷ τῶν Ἀθσνλατωβ Ἄισματι πάρεστι διαθρῆσαι τῷ βουλομένῳ φανερῶς, ἔνθα αὐτὸς ὁ Χριστὸς τὰς ἐν παρθνίᾳ παγίως καταγεγενημένας ἐγκωμιάζων φησίν »ὡς κρίνον ἐν μέσῳ ἀκΜῶν, οὕτως ἡ πλησίον μου ἐν μέσῳ τῶν θυγατέρων«, κρίνῳ πρεικάζων διὰ τὸ καθαρὸν καὶ εὔπνουν καὶ ἡδὺ καὶ ἱλαρὸν τὸ χάρισμα τῆς ἁγνείας· ἐαρινὸν γὰρ ἡ ἁγνεία καὶ ἐπανθοῦν ἀβρῶς ἀεὶ λευκοῖς τοῖς κάλυξι τὴν ἀφθαρσίαν. ὅθεν

δὴ καὶ ἐρᾶσθαι τοῦ κάλλους τῆς ἀκμῆς αὐτῆς ὁμολογεῖν οὐκ ἐπαισχύνεται, »ἐκαρδίωσας ἡμᾶς« ἐν τοῖς ἐξῆς ἀδελφή μου νύμφη«, λέγων »ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ, ἐνθέματι τραχήλου σου. ὅτι ἐκαλλιώθησαν θησαν μαστοί σου ἀπὸ οἴνου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματ. κηρίον ἀποστάζουσι χείλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος, ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη«. Χριστὸς Χριστὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας τῷ νύμφης ὀνόματι, ἐπειδὴ τὴν νύμφην ἠρμόσθαι μὲν δεῖ καὶ κατωνομάσθαι τῷ ἄχραντον δὲ ἔτι καὶ ἀμιγῆ τυγχάνειν, παράδεισον ὥσπερ ἐσφραγισμένην, ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύει τὰ ἀρώματα, ἵνα μόνος ἐλθὼν αὐτὰ δρέψηται Χριστὸς ἀσωμάτοις βλαστήσαντα σποραῖς. ἐρᾷ γὰρ ὁ λόγος οὐδενὸς τῶν σαρκός, ὅτι μὴ πέφυκεν ἀποδέχεσθαί τι τῶν φθειρομένων, οἷον χεῖρας ἢ πρόσωπον ἢ πόδας, ἀλλ' εἰς αὐτὸ τὸ ἄϋλον καὶ πνευματικὸν βλέπων εὐφραίνεται κάλλος, μὴ ἁπτόμενος τοῦ ὥρας. τῆς ὥρας.

Ἐπισκέψασθε γὰρ ὅτι τὸ ἐκαρδίωσας ἡμᾶς', ὦ παρθένοι, τῇ νύμφῃ πρὸς αὐτοῦ λεγόμενον, ἑνὶ ἀπὸ ὀφθαλμῶν σου. τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν, ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς τρανότερον τὴν ἀλήθειαν ἐποπτεύει· δισσὴν γὰρ ὄφεως δύναμιν εἶναι παντί που καταφανές, μίαν μὲν ψυχῆς, θατέραν δὲ σώματος. ἀλλ' οὐχὶ τῆς τοῦ σώματος ὁ λόγος ἐρᾶν ὁμολογεῖ, ἀλλὰ τῆς κατὰ διάνοιαν μόνης, ἐν ἑνί« φάσκων »ἐκαρδίωσας ἡμᾶς ἀπὸ ὀφθαλμῶν σου, καὶ ἐν μιᾷ, ἐνθέματι τραχήλου σου«, ὅπερ ἐστίν· ὦ αὕτη, τῷ ἐπεράστῳ σου βλέμματι τῆς συνέσεως ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον, ἔδωθεν τὸν ἀρίηλον κόσμον ἐξαστράπτουσα τῆς σωφροσύνης. ἐνθέματα γὰρ τραχήλων καλεῖται τὰ περιδέραια, τὰ ἐκ τιμίων καὶ ποικίλων συντιθέμενα λίθων. ἀλλ' αἱ μὲν σωμασκοῦσαι ψυχαὶ τὸν αἰσθητὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρὸς ἀπάτην τῶν θεωμένων, αἱ δὲ ἀγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν ἐξάπτονται, τὸν ἀπὸ τῶν τιμίων καὶ ποικίλων ὡς Μῶς συγκείμενον λίθων τῆς ἐλευθερίας, τῆς μεγαλοφροσύνης, τῆς σοφίας, τῆς ἀγάπης, ὀλίγα φροντίσασαι τῶν τῇδε προσκαίρων ποοικιλμάτων, ἃ φύλλων δίκην πρὸς ὥραν θάλλοντα συναφαυαίνονται τοῦ σώματος ταῖς τροπαῖς. διπλοῦς γὰρ ὁ περὶ τὸν ἄνθρωπον φαίνεται κόσμος, ὧν τὸν ἔνδον ὁ κύριος ἀποδέχεται, τὸν ἀκήρατον, »ἐν μιᾷ« λέγων τραχήλων ἐνθέματι« τῆς νύμφης κεκαρδιῶσθαι, οἱονεὶ τὸ τοῦ ἔσωθεν ἀνθρώπου τῆς καταστολῆς αἴγλην ἀποστίλβοντος ὠρέχθαι σημαίνων, ὥς που καὶ ὁ ψαλμῳδὸς μαρτυρεῖ, »πᾶσα« λέλων »ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν«.

Μὴ ὑπολαμβανέτω δέ τις ἀποκρούεσθαι τὸν ἕτερον ὅμιλον τῶν πεπιστευκότων , δόξας ἡμᾶς τὰς παρθένους μόνας εἰσηγεῖσθαι τευξομένας τῆς ἐπαγγελίας, οὐ συννοήσας ὅτι καὶ φυλαὶ καὶ πατριαὶ καὶ τάγματα »κατ' ἀναλογίαν« ἑκάστων ἔσονται τῆς πίστεως(καὶ τοῦτο καὶ Παῦλος διαγράφει, ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης« λέγ(ον καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει

έν δόΞῃ. οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν«. καὶ ὁ κύριος δὲ οὐ πᾶσι τὰς αὐτὰς ὁμολογεῖ διδόναι τιμάς, ἀλλ' ἑτέρους μὲν ἐπὶ τὰ βασίλεια καταριθμεῖται τῶν οὐρανῶν, ἄλλοις κληρονομίαν ἐπαγγέλλεται γῆς, ἑτέροις οψεσθαι τὸν πατέρα. καὶ δὴ καὶ ἐνταῦθα πρῶτον τὸ τάγμα καὶ τὸν χορὸν τὸν ἅγιον αὐτῷ τῶν παρθένων ὥσπερ εἰς νυμφῶνα τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα συνεισελεύσεσθαι χρησμῳδεῖ. ἐμαρτύρησαν γὰρ οὐ κατά τι μόριον χρόνων ἐν βραχεῖ καρτερήσασαι σωμάτων ἀχθηδόνας, ἀλλὰ διὰ παντὸς ἔτλησαν τοῦ βίου μὴ ἀποδειλιάσασαι τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν ἀληθῶς διαθλῆσαι τῆς ἁγνείας· βασάνοις τε γὰρ ἀγρίαις ἡδονῶν καὶ φόβοις καὶ λύπαις ἀντισχοῦσαι καὶ τοῖς ἄλλοις τῆς πονηρίας τῶν ἀνθρώπων κακοῖς, ἀποφέρονται τὰ γέρα πρῶται τῶν ἄλλων, εἰς τὸν ἀμείων τῆς ἐπαγγελίας ἐκτασσόμεναι χῶρον. ἀμέλει ταύτας μόνον ἐκλεκτὴν νύμφην τὰς ψυχὰς καὶ γνησίαν ὁ λόγος ἑαυτοῦ καλεῖ, τὰς δὲ λοιπὰς παλλακὰς καὶ νεανίδας καὶ θυγατέρας, λέγων ὡδε· »ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεανίδες ὧν οὐκ δὲ ἀριθμός. μία ἐστὶ περιστερά μου, τελεία μου· ἐστὶ ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. εἶδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτήν , βασίλισσαι καί γε παλλακαὶ αἰνοῦσιν αὐτήν'. πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων μία ἐστὶ μόνη ἐκλεκτὴ καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων.

Ἐὰν δέ τῳ περὶ τούτων ἀμφισβήτησις ᾖ, ὡς οὐδέπω τῶν κεφαλαίων ἱκανῶς ἐπεξειργασμένων, καὶ ἔτι βούλοιτο κατ' ἀναγωγὴν αὐτῶν πνευματικὴν διαρθρωθῆναι πληρέστερον, τίνες εἰσὶν αἱ βασίλισσαι καὶ αἱ παλλακαὶ καὶ αἱ νεάνιδες, λέξομεν δύνασθαι ταῦτα λελαλῆσθαι καὶ ἐπὶ τῶν ἐξ ἀρχῆς κατὰ πρόβασιν χρόνων ἐν δικαιοσύνῃ διαπρεψάντων, οἷον τῶν πρὸ τοῦ κατακλυσμοῦ καὶ τῶν μετὰ τὸν κατακλυσμὸν καὶ τῶν ἀπὸ τοῦ Χριστοῦ καθεξῆς· εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχάς, εὐαρέστους τῷ θεῷ γεγενημένας, τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ καὶ τὸν Σὴθ καὶ τὸν Ἐνώχ, παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ καὶ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν, »πνεῦμα σωτηρίας'. τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψυχαί, ἀείμνηστον φέροντα κάλλος, ὁπόσαις ἂν ὁ Χριστὸς συνανακραθῇ. εἰ γὰρ βούλεσθε εἰς Μωσέως ἀποβλέψαι τὰς βίβλους ἢ Δαυὶδ ἢ Σολομῶνος ἢ Ἡσαΐου ἢ τῶν καθεξῆς προφητῶν, ὠ παρθένοι, εἴσεσθε οἷα καταλελοίπασιν ἑαυτῶν ἔκγονα τῷ βίῳ σωτήρια διὰ τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ κοινωνίαν. ὅθεν τεθεωρημένως παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς προφητικὰς ὁ λόγος, ὅτι μὴ φανερῶς αὐτὰς οὕτως ὥσπερ δὴ καὶ τὴν ἐκκληι1ίαν έπηγόγιιοι Διύι1 ας δι' αὐτὴν .τὸν μόοχον τὸν οι- τιυτόνα.

ἐπαπορητίον δὲ καὶ τοῦτο πρὸς τούτοις, ἵνα μηδὲν ἡμᾶς τῶν ἀναγκΛων διαδρᾶναι όι·νηΔῇ, τί όήιποτε ιὰς fitv βασιλίοσας ἰΑ-ικοντα Γφη, τὰς δὲ παλλαΛ-ιΓ ιἰΐδιιήἶονται τὰς δὲ νεάνΛας τοοαύ- τας, οοσον ιΠγ̀k ἀριΔι μιΙΓΑιαι όιὰ τὴν πληθύν, τἰιν όὲ νύμφην μίαν. — καὶ πρῶτον ▯μὲνγ περὶ τῶν ἐξήγοντα λῖΑτέον.

Ἄικοντα βασιλίσσαc έντεῦΛεν, ὡς οί□μαι, όὴ τοὺς ἀπὸ τοῦ π(ιωτοπλ□άΓιτιιυ μέχρι Νῶε κατά όιαδοχὴν εὐα(ιεστρίσανῖας ἐκάλεσε τῷ Μιι . ἐ,ειδ·Μερ ἑτέρων οὗτοι παραγ·ίόλ-αιΐτων καὶ θεσμῶν Ας τὸ σωθῆναι χρείαν οὐκ ἐσΠ·ίκασιν. ἔτι προσφάτου τῆς κατὰ τὴν ἑξαήμερόν οἰ·σης αὐτοΙς τοῦ κόσμοί ο□υοτάο□εωC. ἐμέμνηντο γὰρ οὗτοι ὡς ἐν ἐξ ἡμέραις ὁ Μ:- ἐτεκτŕι- νατο τὴν κτίσιν, τό τε ἐν τῷ παραδείσῳ γεγονότa καὶ πῶς ό ἄνθρω- πος ἐντολὴν ἔχων μὴ ὄψασθαι τοῦ φυτοῦ τῆς φρονήσεως ἐξώκειῖ-ενι ἀποβουκοΑ-ήσαντος αὐτὸν τοῦ τῆς κακίας σοφιστοῦ. ἐντεΜεν ουlν δὴ τὰς ἀπὸ τῆς συστόσεως εὐθέως τοῦ κόσμου κατὰ διαόοχὴν τὸν θεὸν ποθεῖν ἑλομένας ψυχὰς καὶ σχεόόν, εἰ χρὴ φάναι, τοῦ πρώτου οἰωνὸς οὔσας ἔκγονα καὶ γείτονας τῆς μεράλης ἐξαημέρου ἐξήκοντα βασιλίσσας ἔφη συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἐζαήμερον εὐθέως, ὡς ἔφην, γεγονέναι. μεγάλην rὰρ ἐσχήκασιν οὗτοι τιμήν, ἀΠέλοις ὁμιλή - σαντες καὶ τὸν θεὸν υοπαρ, οὐκ ὄναρ πολλάκις θεασάμενοι. ἐπι- σκέψασθε rὰρ ὅσην ἴσχε παρρησίαν ὁ Σὴθ πρὸς τὸν nεόν, οοσην ὁ Λβελ, ὅσην ό Ἐνώς, οοοην ό Ἐνώχ, ὅσην ὁ Μαθουσάλα, οοσην ὁ Νῶε, πρῶτοι δικαιοσύνης γεγονότες ἐρασταὶ καὶ πρῶτοι τῶν »πρωτοτοκων« τέκνων τῶν »άπογεγραμμένων ἐν ούρανοῖς« τῆς βασιλείας καταξιωθέντες, ὥσπερ ἀπαρχή τις τῶν φυτευομένων εἰς σωτηρίαν πρώϊμος τῷ θεῷ βλαστήσαντες καρπός. καὶ περὶ μὲν τούτων αὐτάρκως· άγκως· περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον.

Τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἠν τοῦ θεοῦ, καὶ ἔχρῃζον ἑτέρας διδαχῆς — ἐρπούσης ἤδη τῆς εἰδωλολατρείας — ἤτις αὐτοῖς αὐθις ἀλεξίκακος ἔσοιτο καὶ βοηθός. ὁ ούν θεός, ἵνα μὴ πάντῃ τὸ γένος τῶν ἀνθρώπων ἀϊστθῇ λήθῃ τῶν καλῶν , τὸν ἴδιον παῖδα τοῖς προφήταις ἐκέλευσεν ὑπηχῆσαι τὴν ἐσομένην ἐατοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν βίον, καθ’ ἣν ἡ τῆς πνευματικῆς ὀγδοάδος χαρὰ καὶ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρτημάτων οὖσα καὶ ἀναστάσεως παρεκτική· περιτμηθήσεσθαι γὰρ δι αὐτῆς τῶν ἀνθρώπων τὰ πάθη καὶ τὴν φθοράν. καὶ κιὰ τοῦτο τὸν κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ προφητῶν, διὰ τὴν τῆς περιτομῆν πρεσβείαν τὸν ὀκτὼ περιεχούσης ἀριθμόν, ἡς ἐξήρτηται καὶ ὁ νόμος, ὀγδοήκοντα παλλακὰς ἐκάλεσεν, ὅτι πρῶτοι, πρὶν τὴν νύμφην τὴν ἐκκλησίαν κατεγγυηθῆναι τῷ λόγῳ, τὰ θεῖα συλλαβόντες σπέρματα, τῆς νοητῆς προεξήγγειλαν ὀγδοάδος τὴν περιτομήν. — νεάνιδας δὲ πάλιν εἰς ἀναρίθμητον συντελούσας ὅμιλον τὰ ὑπὸ τοῖς κρείττοσι δικαιοπραγήσαντα πλήθη καὶ νεανικῶς καὶ γενναίων διαθλήσαντα πρὸς τὴν ἁμαρτίαν καλεῖ.

Ἀλλὰ τούτων οὔθ’ αἱ »βασίλισσαι« οὔθ’ αἱ »παλλακαὶ« οὔθ’ αἱ »νεάνιδες« συγκρίνονται τῇ ἐκκλησίᾳ· ἡ γὰρ τι »τελεία« καἰ »ἐκλεκτὴ« παρὰ πάσας νομιζομένη αὐτάς, ἡ ἐκ πάντων συνεστῶσά τι καὶ συνημμένη τῶν ἀποστόλων, ἐστὶν ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας. διὸ καὶ μακαρίζεται καὶ αἰνεῖται Πρὸς τῶν ἄλλων, ὅτι αὕτη καὶ εἶδε καἰ ἤκουσεν ἀφθόνως, ἃ ἐκεῖναι ἐπεπόθησαν κἂν ἐκ βραχέος θεάσασθαι καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι καὶ οὐκ ἤκουσαν. »μακάριοι« γάρ φησιν οἱ ὀφθαλμοὶ ὑμῶν« ὁ κύριος τοῖς μαθηταῖς οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκούσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν‘. οὐκοῦν

διὰ ταῦτα μακαρίξουσι ταύτην οἱ προφῆται καὶ θαυμάζουσιν, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἀκροαταὶ γενέσθαι καὶ θεάμονες ἡ ἐκκλησία κατηξιώθη καὶ μετείληφεν. »ἑξήκοντα« <γάρ> »εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα καὶ νεάνιδες ὡς οὐκ ἔωστιν ἀριθμός. μία ἐστὶν ἡ περιστερά μου, τελεία μου.«

Δυνήσεται δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυρίου, ἧς χάριν καταλελίψας τὸν πατέρα κατῆλθεν ἐνταῦθα καὶ προσεκολλήθη καὶ ἐγκατέσκηψεν ἐναθρωπήσας εἰς αὐτήν. διὸ δὴ καὶ περιστερὰν αὐτὴν ἔφη τροπικῶς, ἐπειδὴ τιθασὸν τὸ ζῷον καὶ ὑπωρόφιον καὶ διαίτῃ τῇ μετὰ ἀνθρώπων ἀσμενίζον. μόνη γὰρ ὡς ἔπος εἰπεῖν ἄσπιλος καὶ ἀμίαντος εὑρέθη καὶ πάντας ὑπερέχουσα τῷ τῆς δικαιοσύνης κόσμῳ καὶ κάλλει, ὥστε μηδένα καὶ τῶν εἰς ἄκρον εὐαρεστησάντων τῷ θεῷ ταύτης δυνηῆναι πέλας ὡς πρὸς σύγκρισιν ἀρετῆς στῆναι, καὶ διὰ τοῦτο κατηξιῶσθαι κοινωνὸν αὐτὴν γενέσθαι τῆς βασιλέιας τοῦ μονγενοῦς, αὐτῷ καθηρμοσμένην τε καὶ ἐνθωθεῖσαν. καὶ ἐν τῷ τεσσαρακοστῷ δὲ καὶ τετάρτῳ ψαλμῷ ἡ ἐκ τῶν πλειόνων παρισταμένη καὶ δεξιῶν βασίλισσα τοῦ θεοῦ μερῶν, ἡ τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλλους« »ὁ βασιλεύς«, ἡ σάρξ ἐστιν, ὡς ἔφην, ἡ ἄχραντος ἐκείνη καὶ μακαρία, ἣν αὐτὸς ἀνακομίσας ὁ λόγος εἰς οὐρανοὺς »ἐκ δεξιῶν« παρέστησε τοῦ πατρός, »ἐν ἱματισμῷ διαχρύσῳ« κεκοσμημένην, ὃ δή ἐστι τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας, ἃ συμβολικῶς ἔφησε »χρυσᾶ κροσσωτά«, ἐπειδήπερ ἐκ ποικίλων ποικίλλεται τοῦτο καὶ συγκαθυφαίνεται κατορθωμάτων τὸ ἔνδυμα, οἷον ἀγνείας, φρονήσεως, πίστεως, ἀγάπης, ὑπομονῆς καὶ τῶν λοιΠῶν Μῶν, ἃ δὴ κατακαλύπτοντα τὴν ἀσχημοσύνην τῆς σαρκὸς κοσμεῖ τὸν ἄνθρωπον κόσμῳ χρυσῷ.

Ἔπειτα τί δὴ πάλιν καὶ ἐν τοῖς ἑξῆς τοῦ ψαλμοῦ μετὰ τὸ τὸν ἄνθρωπον ἐκ δεξιῶν‘ ἐνθρονισθῆναι τοῦ παντοκράτορος, ὃν ἀνείληφεν ὁ λόγος, τὸ πνεῦμα παραδίδωσιν, ἐπισκεπτέον. »ἀπευνχθήσονται τῷ βασιλεῖ παρθένοι« φησίν« »ὀπίσω αὐτῆς· αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως.‘ πάνυ προφανῶς ἐνθάδε λοιπὸν ἔοικεν ἐγκωιμιάζειν τὸ πνεῦμα τὴν ἀγνείαν, μετὰ τὴν νύμφην, ὡς ἀποδεδώκαμεν, τοῦ κυρίου δευτέρας προσιέναι τῷ παντκράτορι »ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ‘ τὰς παρθένους ἐπαγγελλόμενον, ὑπ’ ἀγγέλων δορυφορουμένας τε καὶ παραπεμπομένας. οὕτω γὰρ ἀπέραστόν τι τὸ τῆς παρθενίας ἐστὶν ὡς Μῶς καὶ τριπόθητον κλέος, ὥστε ὀπίσω τῆς βασιλίσσης, ἣν ἀνήγγαγεν ὁ κύριος ἀναμάρτητον ἀποτορνεύσας τῷ πατρί, τὸν χορὸν τῶν παρθενων καὶ τὸ τάγμα προσκομίζεσθαι, τὰ δυτερεῖα τῆς νύμφης κακληρωμένον.

Ταῦτά σοι καὶ παρ’ ἡμῶν, ὠ Ἀρετή, τὰ γυμνάσματα τῶν λόγων ὑπὲρ ἀγνείας ἐστηλιτεύσθω.

Book 8: Λόγος η΄. Θέκλα

Εἰπούσης δὲ ταῦτα τῆς προκίλλης, Ἐμὸς ὁ κλῆρος, ἡ Θέκλα ἴφη, μετὰ ταύτην ἐφεξῆς ἀγωνίζεσθαι, καὶ χαίρω ξυνέμπορον ἔχουσα κἀγὼ τὴν σοφίαν τῶν λόγων. αἰσθανομένη κιθάρας δίκην ἔσωθεν ἁρμοζομένην με καὶ παρασκευάζουσαν εἰς τὸ μεμελημένως εἰπεῖν καὶ εὐσχημόνως.

ΑΡΕΤ. Ἄριστα, (6 θέκλα, τὴν προθυμίαν ἀπεδεξάμην, καὶ πιστεύω εἰς δύναμιν πρέποντας ἀποδοῦναί σε μοι τοὺς λόγους· φιλοσοφίας τε γὰρ τῆς ἐγκυκλίου καὶ παιδείας οὐδενὸς ὑστερήσεις· τῆς εὐαγγελικῆς τε αὐ καὶ θείας, τί χρὴ καὶ λέγειν, Jiagd Παύλῳ σεσοφισμενην;

Οὐκοῦν λέγωμεν δὴ πρῶτον, αὐτόθεν ἀπ’ αὐτῆς ἀπαρξάμεναι τῆς ἐπωνυμίας, δἰ ἣν αἰτίαν ἐκλήθη παρθενία τοῦτο τὸ κορυφαιότατον καὶ μακάριον ἐπιτήδευμα, οἷόν τε ὂν τυγχάνειν καὶ δύναμιν ἣν ἔχει, καὶ εἰσύστερον, ὁποίους καρποὺς ἀποτελεῖ. κινδυνεύουσι γὰρ ὀλίγου ξύμπαντες αὐτὴν ἠγνονκέναι, καὶ μυρίων διαφέρουσαν τῶν ἄλλων τῆς ἀρετῆς πλεονεκτημάτων, ὁπόσα εἰς κάθαρσιν καὶ κόσμον διαπονούμεθα τῆς ψυχῆς. παρθεί̓ γὰρ ἡ παρθενία κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχοντα καὶ τετελεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα, οὗ μεῖζον ἀγαθὸν ἀδύνατον εὑρεῖν, ἡδονῆς καὶ λύπης ἀπῳκισμένον· <ῇ> τὸ τῆς ψυχῆς καταρδόμενον ἀληθῶς αὔξεταί τε καὶ κουφίζεται πτέρωμα, τῶν ἀνθρωπίνων ἐξίπτασθαι καθ’ ἡμέραν ἐθιζόμενον σπουδασμάτων. ἐπειδὴ γὰρ πανήγυριν τὸν βίον ἡμῶν σοφῶν παῖδες εἰρήκασιν εἶναι, ἡμᾶς δὲ τὸ δρᾶμα τῆς ἀληθείας τὴν δικαιοσύνην ἥκειν ὡς εἰς θέατρον ἐπιδειφομένους — ἀντιτεχνούντων ἡμῖν καὶ ἀνταγωνζομένων τοῦ διαβόλου καὶ τῶν δαιμόνων — , ἀνανεύοντας ἄνω δεῖ καὶ ἀνιπταμένους μετεωρίζεσθαι καὶ φεύγειν τὰ θέλγητρα τῆς καλλιφωνίας αὐτῶν καὶ τὰ σχήματα, ἔξωθεν φαντασίᾳ σωφροσύνης ἐπκκεχρωσμένα, ἢ τὰς Σειρῆνας μᾶλλον τὰς Ὁμηρικάς. κηλούμενοι γὰρ ταῖς ἡδοναῖς τῆς πλάνης πτερορρυοῦσι πολλοὶ καὶ βαρύνοται εἰς τὸν καθ’ ἡμᾶς ἥκοντες βίον, χαυνωθέντων αὐτοῖς καὶ χαλασθέντων τῶν τόνων, καθ’ οὓς ἡ τῶν πτερῶν τῆς σωφροσύνης συγκρατεῖται φύσις, κουφίζουσα τὰ κάτω νεύοντα περὶ τὴν φθορὰν τῶν σωμάτων. ὅθεν, ὦ Ἀρετή, εἴτε . . [δι’ ἑαυτὴν] εἴτε διὰ τὸ καὶ μετεωρίζειν πρὸς οὐρανὸν τὰς ψυχὰς ταύτην ἔσχηκας τὴν ἐπωνυμίαν, ἐπὶ

λευκοτάτων ἀεὶ βαίνουσα φρενῶν, ἴθι μοι συναντιληψομένη τοῦ λόγου, ὃν αὐτὴ προσέταξας εἰπεῖν.

Οἱ γὰρ πτερορρυήσαντες καὶ πεσόντες εἰς τὰς ἡδονὰς οὐ πρότερον λήγουσι λύπης καὶ πόνων, ἔστ’ ἂν τῇ τοῦ πάθους ἐπιθυμίᾳ τὴν ἀνάγκην ἐκπληροῦντες τῆς ἀκρασίας ἀμύητοι καὶ ἀτελεῖς τοῦ τῆς ἀληθείας ἀπομείνωσι δράματος, ἀντὶ τῆς μετ’ αἰδοῦς καὶ σωφροσύνης παιδοποιήσεως ἀγρίαις ἐρώτων λυττήσαντες ἡδοναῖς αἱ δὲ εὔπτεροι καὶ κοῦφαι εἰς τὸν ὑπερκόσμιον τόπον ὑπερκύψαι τοῦ βίου καὶ ἰδοῦσαι μακρόθεν ἃ μὴ ἕτερος ἀνθρώπων ἐθεάσατο, τοὺς λειμῶνας αὐτοὺς τῆς ἀφθαρσίας, ἀμήχανα κάλλη καὶ ἄνθη φέροντας καὶ πεπληρωμένους, ἀεὶ πρὸς αὐτούς εἰσιν , ἀναπολοῦσαι τὰ ἐκεῖ θεάματα, καὶ διὰ τοῦτο μικρὰ ἡγοῦνται τὰ ἐνταῦθα νομιζόμενα καλά, πλούτους καὶ δόξας καὶ γένη καὶ γάμους, καὶ οὐδὲν ἔτι ἐκείνων περὶ πλείονος ποιοῦνται. ἀλλὰ καὶ εἴ τις αὐτῶν θηρίοις ἢ πυρὶ τὰ σώματα βούλοιτο παραδιδόναι καὶ τιμωρεῖσθαι, ἑτοίμως ἔχουσι τῶν ἀλγηδόνων ἀφροντιστεῖν διὰ τὸν ἐκείνων πόθον καὶ τὴν ἐκείνων ἔκπληξιν, ὥστε δοκεῖν αὐτὰς καὶ ἐν κόσμῳ οὔσας μὴ εἶναι ἐν κόσμῳ, ἀλλὰ τῷ φρονήματι καὶ τῇ ὁρμῇ τῆς ἐπιθυμίας εἰς τὴν ἄγυριν ἤδη τῶν ἐν τοῖς οὐρανοῖς τυγχάνειν. οὐ γὰρ θέμις ἐπὶ γῆς βρίθειν κατὰ τὴν ἑαυτοῦ φύσιν τῷ τῆς παρθενίας πτερῷ, ἀλλ ἄνω φέρειν εἰς καθαρὸν αἰθέρα καὶ τὸν τῶν ἀγγέλων γείτονα βίον. ὅθεν καὶ πρῶται τῶν ἄλλων μετὰ τὴν ἀνάκλησιν καὶ τὴν ἐντεῦθεν ἐκδημίαν αἱ ὀρθῶς καὶ πιστῶς παρθενεύσασαι τῷ Χριστῷ τὰ νικητήρια φέρονται τῶν ἄθλων, τοῖς τῆς ἀφθαρσίας ἄνθεσι στεφθεῖσαι πρὸς αὐτοῦ· ἅμα γὰρ τῷ καταλεῖψαι τὸν κόσμον τὰς ψυχὰς λόγος ταῖς παρθένοις ὑπαντῶντας ἀγγέλους μετὰ πολλῆς εὐφημίας εἰς τοὺς προειρημένους παραπέμπειν λειμῶνας αὐτάς, εἰς οὓς καὶ πρόσθεν ἐλθεῖν ἐγλίχοντο, μακρόθεν αὐτοὺς φαντασιωθεῖσαι τότε, ὁπότε ἔτι ἐπενδημοῦσαι τοῖς σώυμασιν ἰνδάλλοντο τὰ θεῖα.

Ἐνταῦθα οὖν δὴ ἐλθούσας θαυμαστά τινα θεάσασθαι καὶ ἔκλαμπρα καὶ μακάρια κάλλη καὶ ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές. εἶναι γὰρ αὐτὴν δικαιοσύνην καὶ αὐτὴν σωφροσύνην, ἀγάπην αὐτὴν ἐκεῖ καὶ ἀλήθειαν καὶ φρόνησιν καὶ τὰ ἄλλα ὡσαύτως ἐπιφανῆ τῆς σοφίας ἄνθη καὶ φυτά, ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνας φασματώδεις ὀνειρώσσοντες ἀπὸ τῶν πράξεων ἡγούμεα τῶν ἀνθρωπίνων συνίστασθαι, ὅτι μὴ ἔστιν αὐτῶν δεῦρο μηδὲν εἴδωλον καταφανές, ἀλλ’ ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ αὐτὰ σκοτεινῶς πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. οὐ γὰρ ἂν πώποτε δικαιοσύνης αὐτῆς ἢ συνέσεως ἢ εἰρήνης ὀφθαλμοῖς ἐθεάσατο τις μέγεθος ἢ σχῆμα ἢ κάλλος· ἐκεῖ δὲ ἐν τῷ ὄντι, ὡς εἰσίν , ὁλοτελῆ βλέπονται καὶ σαφῆ. εἶναι γὰρ δένδρον τι σωφροσύνης αὐτῆς, εἶναι ἀγάπης, εἶναι συνέσεως, ὥπερ καὶ τῶν ἐνθάδε τὰ φυτὰ καρπῶν. οἷον σταφυλῆς ἢ ῥόας ἢ μήλων. οὕτω δὴ κἀκείνων βλέπεσθαι μὲν καὶ ἐσθίεσθαι τοὺς καρπούς, οὐ μὴν ἀπόλλυσθαι καὶ φθίνειν, ἀλλ’ εἰς ἀθανασίαν αὔξειν καὶ θειότητα καὶ τοὺς δρεπομένους· καθὼς κἀκεῖνος, ἐξ οὐ πάντες ἐσμέν, πρὸ τοῦ παραπεσεῖν καὶ πηρωθῆναι τὰς ὄψεις ἐν τῷ παραδείσῳ τυγχάνων ἀπεκαρπεύετο, τοῦ θεοῦ θεμιστεύοντος τὸν ἄνθρωπον τῶν τῆς σοφίας ἐργάτην τεθῆναι καὶ φύλακα

φυτῶν. τοιούτους γὰρ ἠν καρποὺς πεπιστευμένος γεωργεῖν καὶ ὁ πρῶτος Ἀδάμ. καὶ ὁ Ἱερεμίας δὲ ταῦτα τυγχάνειν ἰδικῶς ἴν τινι τόπῳ καὶ ἀφεστῶτι μεγάλην ἀπόστασιν τῆς καθ' ἡμᾶς οἰκουμένης οἶδεν, ἔνθα τοὺς ἐξολισθήσαντας τῶν αἰωνίων ἀγαθῶν κατοικτίζων λέγει »μέθετε ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστιν ἡ σύνεσις τοῦ γνῶναι, ἅμα ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ εἰρήνη. τίς εὑρε τὸν τόπον αὐτῆς, ἢ τίς εἰσῆλθεν εἰς τοὺς αὐτῶν;' τούτων οὐν διελθούσας εἰς τοὺς θησαυροὺς ἀποκαρπεύεσθαι λόγος τῶν ἀρετῶν τὰς παρθένους, εὐτάκτοις φωσὶ καὶ πολλοῖς καταρδομένας, ἃ δίκην πηγῆς αὐταῖς ὁ θεὸς ἀνερεύγεται, καταλάμπων ἐκεῖνον τὸν αἰῶνα φωσὶν ἀδότοις. αἱ δὲ χορεύουσιν ἐμμελῶς γεραίρουσαι τὸν θεόν· περικέχυται τὰρ αὐταῖς ἀὴρ καθαρὸς καὶ μὴ καθιππευομενος ἡλίῳ.

Νῦν οὐν, ὠ παρθενοι, σωφροσύνης ἀχράντου θυγατέρες, ὑπὲρ ζωῆς ἡμῖν ἀφθόνου καὶ βασιλείας οὐρανῶν ἡ σπουδή. εἰς τὴν αὐτὴν δόζαν τῆς ἁγνείας καὶ ὑπεῖς προθύμως ταῖς πρὸ ὑμῶν συμφρονήσατε, ὀλίγα φροντίσασαι <τοῦ> βίου· οὐ γὰρ μικρὸν εἰς ἀφθαρσίας ἁγνεία, ἀνωφερῆ τὴν σάρκα πρὸς ὕψος αἴρουσα καὶ τὸ κάθυγρον αὐτῆς ἀναξηραίνουσα καὶ πηλῶδες βάρος ὁλκῇ μείζονι. Με βριθέτω τῆς ἀκοῆς ὁ ῥύπος ῥέπων εἰς τὴν γῆν, μηδὲ μετα κασμείτω λύπη τὴν χαράν, ἐκτήκουσα τὰς ἐπὶ τοῖς κρείττοσιν ἐλπίδας· ἀλλὰ ἀτρύχως αποσείεσθε τὰς ἐπισυμβαινούσας ὑμῖν συμφοράς, μὴ θολοῦσαι γόοις τὸν λογισμόν. νικάτω γὰρ ἡ πίστις πάντη, καὶ ἀπωθείσθω τὸ φῶς ἀυτῆς τὰ φερόμενα τοῦ πονηροῦ περὶ τὴν καρφίαν φάσματα. ὥσπερ γὰρ ὀπόταν ἡ σελήνη τὸν οὐρανὸν αἴγλης ἐκλάμψασα πληρώσῃ καὶ πᾶς ὁ ἀὴρ αἴθριος γτενηθῇ, ἄφνω δὲ νεφέλαι ποθὲν ἐκ δυσμῶν ὑποδραμοῦσαι βάσκανοι πρὸς ὀλίγον τὸ φῶς αὐτῆς ἐπισκιάζουσιν, οὐ μὴν ἀφαιμροῦνται, ἅτε εὐθέως τῇ ῥύμῃ τοῦ πενύματος ἐξωθόυμεναι· οὕτω δὴ καὶ ὑμεῖς ἐν τῷ κόσμῳ λάμπουσαι τὴν ἁγνείαν, ὑπὸ θλίψεων ὀχληθεῖσαι καὶ πόνων, ὦ παρθένοι, μὴ ὀκλάσητε πρὸς τὰς ἐλπίδας. ἐξωθοῦνται γὰρ τῷ πνεύματι τὰ ἐκ τοῦ πονηροῦ νέφη, ἐὰν ὥσπερ ἡ μήτηρ ὑμῶν καὶ ὑμεῖς, ἡ γεννῶσα τὸν ἄρσενα παρθένος ἐν τῷ οὐρανῷ, μὴ δειλιάσητε λοχῶντα καὶ ἐφεδρεύοντα τὸν ὄφιν· περὶ ἧς ἐγὼ πρὸς ὑμᾶς ἀμηγέπη διεξελεύσομαι δηλοῦσα· καιρὸς γὰρ τὰ νῦν. — καὶ ὤφθη μέγα σημεῖον ἐν τῷ οὐρανῷ « τὴν Ἀποκάλυψιν ὁ Ἰωάννης ἐξηγούμενος λέγει γυνὴ περιβεβλημένη τὸν ἥλιον· καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς· καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δεκαδύο· καὶ ἐν γαστρὶ ἔχουσα κροάζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλλο σημεῖον έν τῷ οὐρανῷ· καὶ ἰδοὺ δράκων πυρρὸς μέγας, ἔχων χεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον μέρος τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἔστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης ἐκτεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς καταφάγῃ. καὶ ἔτεκεν υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Μιν καὶ πρὸς τὸν θρόνον αὐτοῦ· καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας « καὶ τὰ μὲν οὖν περὶ τῆς

γυναικὸς ἱστορούμενα καὶ τοῦ δράκοντος ὡς ἐν ἐπιτομῇ τέλος ἔχει· περὶ δὲ τοῦ τὴν ἐπίλυσιν αὐτῶν ἀνεύρασθαι καὶ εἰπεῖν μεῖζον ἢ καθ’ ἡμᾶς. ὅμως τολμητέον, πιστεύσασαν τῷ κελεύσαντι «τὰς γραφὰς« ἐρευνᾶν. εἰ οὖν καὶ σφῷν τὰ λεγόμενα συνδοκεῖ, χαλεπὸν οὐδὲν ἤδη τερίλασθαι· πάντως γὰρ συγγνώσεσθε, πρὸς τὴν ἀκρίβειαν τῆς γραφῆς ἐὰν μὴ δυνηθῶ διαρκέσαι.

Ἡ ὀφθεῖσα περιβεβλημένη τὸν ἥλιον ἐν τῷ οὐρανῷ γυνὴ καὶ στέφανον ἐξ ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχε ἡ σελήμνη πρὸς τοῖς ποσί, καὶ ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν, αὕτη κυρίως ἐστὶ κατὰ τὸν ἀκριβῆ λόγον ἡ μήτηρ ἡμῶν, ὦ παρθένοι. δύναμίς τις οὖσα καθ’ ἑαυτῆν ἑτέρα τῶν τέκνων, ἣν ὁτὲ μὲν Ἰερουσαλὴμ οἱ προφῆται κατὰ τὴν σύνοψιν τῶν ἐπιφερομένων, ὁτὲ δὲ νύμφην, ὁτὲ δὲ Σιὼν ὄρος, ὁτὲ δὲ ναὸν καὶ σκηνὴν τοῦ θεοῦ κεκλήκασιν. ἡ γὰρ παρορμωμένη φωτίζεσθαι δύναμις ἐν τῷ Προφήτῃ, φωτίζου, φωτίζου« κεκραγότος αὐτῇ τοῦ πνεύματος »Ἰερουσαλήμ ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ δὲ ἀνατέταλκεν. ἰδοὺ καλύψει σκότος καὶ γνόφος γῆν, καλύψει ἐπ’ ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα κυρίου ἐπὶ δὲ ὀφθήσεται. καὶ πορεύσονται βασιλεῖς ἐν τῷ φωτί σου καὶ ἔθνη ἐν τῇ λαμπρότητί σου. ἀνάβλεψον κύκλῳ τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. ἥκασι πάντες οἱ υἱοί σου μαΚρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ’ ὤμων ἀρθήσονται« ἔστιν ἡ ἐκκλησία, ἧς τὰ τέκνα πασσυδὶ ἐν τῷ βαπτίσματι μετὰ τὴν ἀνάστασιν πάντοθεν πρὸς αὐτὴν ἥξει καταθέοντα αὐτῇ, δεχομένη τε τὸ φῶς τὸ ἀνέσπερον, τὴν λαμπρότητα στολῆς σχήματι περιβεβλημένη τοῦ λόγου, ἥδεται. ποίῳ γὰρ ἄλλῳ τιμαλφεστέρῳ κόσμῳ ἢ τιμιωτέρῳ τὴν βασίλισσαν ἔπρεπε κοσμηθεῖσαν νυμφαγωγηθῆναι τῷ κυρίῳ, φῶς ὡς ἱμάτιον‘ λαβοῦσαν, δι’ ὃ καὶ αὐτὴν ὑπὸ τοῦ πνεύματος ἀνακληθῆναι; ἴτε γὰρ ἀναβᾶσαι τῷ λόγῳ θεάσασθε ὥσπερ τὰς πρὸς γάμον παρθένους γυναῖκα μεγάλην, καθαρὸν καὶ ἄχραντον ὅλον καὶ μόνιμον κάλλος καὶ οὐδὲν ἐλαττούμενον τῆς λαμπρότητος τῶν φώτων ἀθοστίλβουσαν, καὶ ἀντὶ μὲν στολῆς αὐτὸ φῶς ἠμφιεσμένην, ἀντὶ δὲ λίθωι· τιμίων ἀστράσι φαιδροῖς τὴν κεραλὴν κεκοσμημένην. ὃ γὰρ ἡμῖν ἐσθής, τοῦτο ἐκείνῃ φῶς· ὃ δὲ ἠμῖν χρυσὸς ἢ διαφανεὶς λέθοι, τοῦτο ἐκείνῃ τὰ ἄστρα, ἄστρα δὲ οὐχ ὁποῖα ταῦτα τὰ ἐν τῷ ὁρατῷ κείμενα τόπῳ, ἀλλά τινα κρείττω καὶ εὐφεγγέστερα, ὥστε εἰκόνας ἐκείνων μᾶλλον νομίζεσθαι ταῦτα καὶ ἀπεικονίσματα.

Βεβηκέναι τε ἐπὶ τῆς σελήνης, σελήνην, ὡς ἡγοῦμαι, τροπικῶς τὶν πίστιν τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ λουτρῷ διὰ τὸ προσεοικέναι τὸ φῶς αὐτῆς μᾶλλον ὕδατι χλιαρῷ καὶ πᾶσαν ἐξ αὐτῆς ἠρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. ἐφέστηκεν οὐν ἐπὶ τῆς πίστεως καὶ προσλήψεως ἡμῶν ἡ ἐκκλησία κατὰ τὴν τῆς σελήνης σύνοψιν, μέχριπερ ἂν »εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν‘, ὠθίνουσα καὶ ἀναγεννῶσα τοὺς ψυχικοὺς εἰς πνευματκούς, καθ’ ὃν λόγον καὶ μήτηρ ἐστίν. ὥσπερ γὰρ σπορὰν ἀνδρὸς ἀμόρφωτον ὑποδεξαμένη γυνὴ περιοδοις χρόνων ἄνθρωπον ὁλόκληρον ἀποκύει, ταύτῃ δὴ καὶ τοὺς προσφεύγοντας τῷ λόγῳ φήσειεν ἄν τις συλλαβοῦσαν ἀεὶ τὴν ἐκκλησίαν, καὶ τὴν καθ’ ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσα τοῦ Χριστοῦ, περιόδοις χρόνων πολίτας τῶν

μακαρίων ἐκείνων αἰώνων ἐργάζεσθαι. ὅθεν ἐξ ἀνάγκης αὐτὴν ἐφεστάναι δεῖ τῷ λουτρῷ τοὺς λουομένους γεννῶσαν· τούτῳ γὰρ καὶ σελήνη κέκληται τῷ τρόπῳ ἡ περὶ τὸ λουτρὸν αὐτῆς ἐνέργεια, ἐπειδὴ νέον σέλας ἀνανεασθέντες οἱ ἀναγεννώμενοι λάμπουσιν , ὅ ἐστι νέον φῶς, ὅθεν κὠ νεοφώτιστοι καλοῦνται περιφραστικῶς, τὴν πνευματικὴν αὐτοῖς πανσέληνον κατα τὴν περίοδον τοῦ πάθους καὶ τὴν ἀνάμνησιν νέαν ἀεὶ παραφαινούσης, ἵστ’ ἂν ἡ αὐγὴ καὶ τὸ φῶς τὸ τέλειον ἀνατείλῃ τῆς μεγάλης ἡμέρας.

Ἐὰν δέ τις (οὐδὲν γὰρ χαλεπὸν ἔτι διαρρήδην εἰπεῖν) ἀγανακτήσας φράσῃ πρὸς τὰ εἰρημένα, Καὶ πῶς ὑμῖν ἡ ἐξήγησις ἔτι, ὠ παρθένοι, γίνεται κατὰ νοῦν τῆς γραφῆς, ὁπότε ἡ μὲν Ἀποκάλυψις ἄρσενα τὴν ἐκκλησίαν διορίζεται γεινναῦν, ὑμεῖς δὲ ἐπὶ τῶν ἀπολουομένων παρειλήφατε τὰς τελεσφόρους ὠδῖνας αὐτῆς πληροῦσθαι λουομένας; λέξομεν, Ἀλλ’, ὦ φιλαίτιε, ἀλλ’ οὐδέ σοι πάρεστιν ἀποδεῖξαι τὸν Χριστὸν αὐτὸν εἶναι τὸν γεννώμενον· πάλαι γὰρ πρὸ τῆς Ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ λόγου, ὁ δὲ Ἰωάννης περὶ παρόντων καὶ μελλόντων θεσμῳδεῖ. ὁ δὲ Χριστὸς πάλαι κυηθεὶς οὐχ ἡρπάσθη ὁπότε ἔτέχθη πρὸς τὸν θρόνον τοῦ θεοῦ, φόβῳ τοῦ μὴ λυμήνασθαι αὐτὸν τὸν ὄφιν· ἀλλὰ διὰ τοῦτο ἐγεννήθη καὶ κατῆλθεν αὐτὸς ἀπὸ τῶν θρόνων τοῦ πατρός. ἵνα τὸν δράκοντα χειρώσηται μείνας παοστρέχοντα τῇ σαρκί. ὥστε ἀνάγκη ὁμολογεῖν δὴ καὶ δὲ τὴν ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν καὶ γεννῶσαν τοὺς ἀπολυτρουμένους , ὥς που καὶ ἐν Ἠσαΐᾳ τὸ πνεῦμά φησι πρὶν τὴν ὠδίνουσαν τεκεῖν καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινεν ἡ γῆ ἐν μιᾷ ἡμέρᾳ, εἰ δὲ καὶ τέκοι ἔθνος εἰσάπαξ, ὅτι ὠδίνησε Σιὼν καὶ ἔτεκεν ἄρσενα«. τίνα ἐξέφυγεν ἢ πάντως τὸν δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιὼν τὸν ἄρσενα, τὸν τῶν γυναικείων παθῶν καὶ τῆς ἐκλύσεως εἰς τὴν ἑνότητα τοῦ κυρίου κατντήσαντα καὶ ἀπαρσενωθέντα τῇ σπουδῇ;

Λέγωμεν οὐν πάλιν ἐξ ἀρχῆς ἐπαναπολήσασαι, μέχριπερ ἂν καθεξῆς πρὸς τὸ τέλος ἔλθωμεν ἐξηγούμεναι τὰ εἰρημένα. σκόπει οὐν, ἐάν πως καὶ σοὶ δοκῇ πρὸς εὐδοξίαν ὁ λόγος πληροῦσθαι. ἐγὼ γὰρ τὸν ἄρσενα ταύτῃ γεννᾶν εἰρῆσθαι νομίζω τὴν ἐκκλησίαν, ἔπειδὴ τοὺς χαρακτῆρας καὶ τὴν ἐκτύπωσιν καὶ τὴν ἀρρενωπίαν εἰλικρινῶς τοῦ Χριστοῦ προσλαμβάνουσιν οἱ φωτιζόμενοι, τῆς καθ’ ὁμοίωσιν μορφῆς έν αὐτοῖς ἐκτυπουμένης τοῦ λόγου καὶ ἐν αὐτοῖς γεννωμένης κατὰ τὴν ἀκριβῆ γνῶσιν καὶ πίστιν, ὥστε ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς. καὶ διὰ τοῦτο ἡ ἐκκλησία σπαργᾷ καὶ ὠδίνει, μέχριπερ ἂν ὁ Χριστὸς‘ ἐν ἡμῖν μορφωθῇ‘ γεννηθείς, ὅπως ἕκαστος τῶν ἁγίων τῷ μετέχειν Χριστοῦ Χριστὸς γεννηθῇ· καθ’ ὃν λόγον καὶ ἔν τινι γραφῇ φέρεται τὸ μὴ ἅψησθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς παοφήταις μου μὴ πονηρεύησθε«, οἱονεὶ Χριστῶν γεγονότων τῶν κατὰ μετουσίαν τοῦ πνεύματος εἰς Χριστὸν βεβαπτισμένων, συμβαλλούσης ἐνταῦθα τὴν ἐν τῷ λόγῳ τράνωσιν αὐτῶν καὶ μεταμόρφωσιν τῆς ἐκκλησίας. βεβαιοῖ δὲ τοῦτο καὶ Παῦλος φανερῶς διδάσκων, ἔνθα φησί τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα

δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἴσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν‘. εἰς γὰρ τὰς ἀναγεννωμένων ψυχὰς ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι τὸν λόγον τῆς ἀληθείας.

Ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα προσεοικέναι καὶ συμφωνεῖν τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ ἐπὶ τὸν ἁγνισμὸν ἥκοντι τοῦ ὕδατος ἐν τῷ Ἰορδάνῃ μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά δε«. παρατηρητέον γὰρ ὅτι τὸ μὲν υἱὸν αὐτοῦ εἶναι ἀορίστως ἀπεφήνατο καὶ ἀχρόνως· »εἶ« γὰρ υἱός‘ αὐτῷ ἔφη, καὶ οὐ »γέγονας«, ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε αὐ προϋπάρξαντα μετὰ ταῦτα ἐσχηκέναι, ἀλλὰ προγεννηθέντα καὶ ἔσεσθαι καὶ εἶναι τὸν αὐτόν. τὸ δέ »ἐγὼ σήμερον γεγέννηκά δε« ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων, λέγει, ἐν τοῖς οὐρανοῖς ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι, ὃ δή ἐστι πρόσθεν ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνῃσθημένοις τὴν πολυποίκιλον σοφίαν »τοῦ θεοῦ« ὁ Χριστὸς γεγέννηται, ὅπερ ἐστὶν οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται, οὐδέπω ἐφάνη. εἰ δὲ αἴσθοιντο καὶ οὗτοι τῆς χάριτος τὸ μυστήριον, τότε δὴ καὶ αὐτοῖς, ὁπότε ἐπέστρεψαν καὶ ἐπίστευσαν, κατὰ τὴν γνῶσιν καὶ τὴν σύνεσιν γεννᾶται. διὰ καὶ προσηκόντως ἐντεῦθεν ἡ ἐκκλησία τὸν ἄρσενα λόγον ἐν τοῖς ἁγνιζομένοις ἀεὶ μορφοῦν λέγεται καὶ γεννᾶν. — καὶ τὰ μὲν δὴ περὶ τῶν ὠδίνων αὐτῆς εἰς δύναμιν εἴρηται· τὰ δὲ περὶ τοῦ δράκοντος καὶ τῶν ἄλλων τῇδε μεταληπτέον. οὐκοῦν πειρώμεθα πάλιν ἀμωσγέπως δληλοῦν, ὦ παρθένοι, μηθὲν ἀποδειλιᾶσαι πρὸς τὸ μέγεθος τῶν αἰνιγμάτων τῆς γραφῆς· εἰ δέ τι δύσκολον ἐμπίπτοι τοῖς λόγοις, ἐγὼ πάλιν ὑμᾶς ὥσπερ ποταμὸν διαβιβάσω.

Ὁ »δράκων« ὁ »μέγας«, ὁ »πυρρός«, ὁ πολύτροπος, ὁ πολυσχιδής, ὁ ἑπτακέφαλος, ὁ κερασφόρος, ὁ σύρων τὸ τρίτον τῶν ἀστέρων«, ὃς »ἕστηκεν« ἐφεδρεύων, ἵνα τὸ τέκνον‘ τῆς ὠδινούσης γυναικὸς »καταφάγῃ«, ὁ διάβολος οὗτός ἐστιν ὁ ἐνεδρεύων, ὁ λοχῶν λυμήνασθαι τῶν φωτισθέντων τὸν χριστόληπτον νοῦν καὶ τὴν ἐκτύπωσιν καὶ τράνωσιν τὴν ἐν αὐτοῖς ἀποτεχθεῖσαν τοῦ λόγου. ἀλλ ἀστοχεῖ καὶ σφάλλεται τῆς ἄγρας, ἄνω πρὸς ὕφος ἁρπαζομένων τῶν ἀναγεννωμένων πρὸς τὸν θρόνον τοῦ θεοῦ«· ὃ δή ἐστιν, ἄνω περὶ τὴν θείαν ἕδραν καὶ τὴν ἀσκανδάλιστον ὑπόβασιν τῆς ἀληθείας αἴρεται τὸ φρόνημα τῶν ἀνακαινισθέντων, τὰ ἐχεῖ βλέπειν καὶ τὰ ἐκεῖ φαντάζεσθαι παιδαγωγούμενον, ἵνα μὴ ἀπατηθῇ πρὸς τοῦ δράκοντος βρίθοντος κάτω· οὐ γὰρ αὐτῷ θέμις τοὺς ἄνω νεύοντας καὶ τοὺς ἄνω βλέποντας ἀφανίσαι. οἱ δὲ ἀστέρες εἰσίν, οὓς τῷ τῆς οὐ οὐρᾶς ἄκρῳ κατὰ κορυφῆς ἐφαπτόμενος εἰς τὴν γῆν κατασπᾷ, τῶν αἱρέσεων αἱ συστροφαί· ἀστέρας γὰρ σκοτεινούς, ἀμυδροὺς καὶ ταπεινοστρεφεῖς τὰς ἐπισυνόδους εἶναι τῶν ἑτεροδόξων φραστέον, ἐπειδὴ τῶν οὐρανίων ἐπιστήμονες εἶναι δὴ βούλονται καὶ αὐτοὶ καὶ εἰς Χριστὸν πεπιστευκέναι καὶ τὴν ἕδραν ἔχειν τῆς ψυχῆς ἐν τοῖς οὐρανοῖς καὶ πλησιάζειν τοῖς ἄστροις ὡς φωτὸς τέκνα«. ἀλλὰ κατασύρονται τοῦ δράκοντος ἐκσεισθέντες ταῖς πλοκαῖς, ὅτι μὴ τῶν τριγώνων εἴσω τῆς εὐσεβείας ἔστησαν σχημάτων, πταίσαντες αὐτῆς περὶ τὴν ὀρθόδοξον θρησκείαν,

ὅθεν καὶ τρίτον τῶν ἀστέρων ἐκλήθησαν μέρος οἷον περὶ ἕνα τῶν ἀριθμῶν τῆς τριάδος διεσφαλμένοι, ὁτὲ μὲν τὸν τοῦ πατρός, ὡς Σαβέλλιος, αὐτὸν τὸν παντοκράτορα λέξας πεπονθέναι, ὁτὲ δὲ τὸν τοῦ υἱοῦ, ὡς Ἀρτεμᾶς καὶ οἱ δοκήσει αὐτὸν ἀποφηνάμενοι πεφηνέναι, ὁτὲ δὲ περὶ τὸν τοῦ πνεύματος, ὡς Ἐβιωναῖοι, ἐξ ἰδίας κινήσεως τοὺς προφήτας φιλονεικοῦντες λελαληκέναι· Μαρκίωνος γὰρ καὶ Οὐαλεντίνου καὶ τῶν περὶ τὸν Ἐλχασαῖον καὶ τοὺς ἄλλους καλὸν μηδὲ μνημονεῦσαι.

Ἡ δὲ γεννήσασα καὶ γεννῶσα τὸν ἀρρενωπὸν ἐν καρδίαις τῶν πιστευόντων λόγον, καὶ ἄχραντος καὶ ἀβλαβὴς ἀπὸ τοῦ θηρὸς τῆς ὀργῆς εἰς τὴν ἔρημον παραγεγενημένη, ἡ μήτηρ ἡμῶν ἐστιν, ὡς ἀποδεδώκαμεν, ἡ ἐκκλησία. ἡ δὲ ἔρημος εἰς ἣν ἐλθοῦσα τρέφεται τὰς χιλίας καὶ διακοσίας ἡμέρας καὶ ἑξήκοντα, ἡ κακῶν ἔρημος ἀληθῶς καὶ ἄγονος καὶ στείρα φρορᾶς καὶ δυσπρόσιτος καὶ δύσβατος τοῖς πολλοῖς, εὐκαρπος δὲ καὶ εὔβοτος καὶ εὐθαλὴς καὶ εὐεπίβατος ἁγίοις καὶ πλήθουσα σοφίας καὶ βλαστάνουσα ζωήν ἐστὶ τοῦτο αὐτὸ δὴ τῆς Ἀρετῆς τὸ κάλλιστον καὶ καλλίδενδρον καὶ καλλίπνουν χωρίον, ἔνθα »ἐξηγέρθη ὁ νότος καὶ διέπνευσεν ὁ βορρᾶς, καὶ ῥέουσι τὰ ἀρώματα« καὶ πάντα τῶν ἀμβροσίων πεπλήρωται δρόσων, ἀθανάτου ζωῆς βλάσταις ἀμαράντοις κατεστεμμένα, εἰς ὅ ἐσμεν ἡμεῖς ἀνθολογοῦσαι νῦν καὶ πλέκουσαι τῇ βασιλίσσῃ τὸν ἀλουργῆ στέφανον καὶ ἔκλαμπρον τῆς παρθενίας ἀθίκτοις δακτύλοις· Ἀρετῆς γὰρ κοσμεῖται καρποῖς ἡ νύμφη τοῦ λόγου. αἱ δὲ χίλιαι καὶ διακόσιαι ἡμέραι καὶ ἑξήκοντα, ἃς ἐνθάδε ἐσμὲν εἰς ἐπιδημίαν, ἡ περὶ τοῦ πατρός ἐστιν, ὠ παρθένοι, καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος κατ’ εὐθεῖαν ἀκριβὴς καὶ ἀρίστη σύνεσις, ᾗ γέγηθεν ἡμῶν ἡ μήτηρ αὐξανομένῃ καὶ ἀγάλλεται τουτονὶ τὸν χρόνον, μέχριπερ ἂν τῆς ἀποκαταστάσεως τῶν καινῶν αἰώνων εἰς τὴν ἄγυριν ἐλθοῦσα κατὰ τοὺς οὐρανοὺς μηκέτι δι’ ἐπιστήμης κατασκέψηται τὸ ὄν, ἀλλὰ τρανῶς ἐποπτεύσῃ Χριστῷ συνεισβᾶσα. τὰ γὰρ χίλια ἐν ἑκατοντάσι δεκαπλασιασθέντα τέλειον ἀριθμὸν καὶ πλήρη περιέχει, ὃ δή ἐστι σύμβολον αὐτοῦ τοῦ πατρὸς τοῦ ἀφ’ ἑαυτοῦ δημιουργήσαντος καὶ ἐν ἑαυτῷ συγκρατοῦντος τὸ πᾶν, τὰ δὲ διακόσια τὸν ἐκ δύο τελείων ἀριθμῶν συνεζευγμένον, ὃ δή ἐστι σύμβολον τοῦ ἁγίου πνεύματος, καθὸ τῆς γνώσεώς ἐστι τοῦ υἱοῦ τοῦτο καὶ τοῦ πατρὸς παρεκτικόν. τὰ δὲ ἑξήκοντα τὸν ἐξ ἀριθμὸν ἐν δεκάσιν ἔχει, ὃ δή ἐστι σύμβολον τοῦ Χριστοῦ, ἐπειδήπερ ὁ τῶν ἓξ ἀπὸ μονάδος προϊὼν ἀριθμὸς ἐκ τῶν ἰδίων συντίθεται μερῶν, ὥστε μήτε λείπειν ἐν αὐτῷ τι μήτε πλεονάζειν· εἰς τὰ ἑαυτοῦ γὰρ μέρη ἀναλυόμενος συμπληροῦται, οἷον τῶν ἓξ εἰς ἕσα μέρη ἐξ ἴσων τεμνομένων μερῶν ἀνάγκη τὴν αὐτὴν ἐκ τῶν διαμερισθέντων τμημάτων πάλιν ποσότητα πληροῦσθαι. πρῶτον γὰρ μέρος κατὰ μέσον διαιρούμενος ποιεῖ τὸν τρία, εἶτα εἰς τρία διαιρούμενος μέρη ποιεῖ τὸν δύο, εἶτα εἰς ἓξ μερισθεὶς ποιεῖ τὸν ἕναι κοὶ συμπληροῦται πάλιν εἰς ἑ αυτόν· εἰς γὰρ δὶς τρία καὶ τρὶς δύο καὶ ἑξάκις ἐν διαιρούμενος, συντιθεμένων τῶν τριῶν καὶ τῶν δύο καὶ τοῦ ἑνός, πάλιν ἀναπληροῖ τὸν ἕξ. τέλειον δὲ πᾶν ἐξ ἀνάγκης ἐστὶ τὸ μήτε προσδεόμενον εἰς συμπλήρωσιν ἑτέρου μήτε πλεονάζον ἑαυτοῦ πώποτε. τῶν δὲ ἄλλων ἀριθμῶν οἱ μὲν ὑπερτέλειοί εἰσιν, ὡς ὁ δώδεκα

(τὸ γὰρ ἴσον αὐτοῦ μέρος τὰ ἕξ, καὶ τὸ τρίτον τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ τρία, καὶ τὸ ἕκτον τὰ δύο, καὶ τὸ δωδέκατον τὸ ἕν, εἰς ἃ δύναται μερίζεσθαι, συντεθέντα ὑπερβάλλουσι τὸν δώδεκα, οὐ τηρήσαντος ἑαυτὸν ἴσον τοῖς ἑαυτοῦ μέρεσιν , ὡς ὁ ἕξ), οἱ δὲ ὑποτέλειοι, ὡς ὁ ὀκτώ. τὸ γὰρ ἥμισυ αὐτοῦ τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ δύο, καὶ τὸ ὄγδοον τὸ ἕν, εἰς ἃ τέμνεται μέρη, συντεθέντα ποιεῖ τὸν ἑπτά, καὶ προσδεῖται μονάδος εἰς τὴν ἑαυτοῦ συμπλήρωσιν , οὐχ ὡς ὁ ἐξ παντοίως ἑαυτῷ σύμφωνος ὤν. διὸ καὶ τὴν ἀναφορὰν εἰς τὸν υἱὸν ἀνείληφε τοῦ θεοῦ, ἀπὸ τοῦ πληρώματος »τῆς θεότητος« εἰς τὸν βίον ἐληυθότος· κενωθεὶς γὰρ καὶ τὴν »μορφὴν« τοῦ »δούλου« προσλαβὼν εἰς τὴν ἑαυτοῦ τελειότητα πόλιν ἀνεποληρώθη κοὶ τὴν ἀξιαν. αὐτὸς γὰρ ἐν ἑαυτῷ σμικρυνθείς, καὶ ἐν τοῖς ἑαυτοῦ μέρεσιν ἀναλυθείς, ἐκ τῆς ἑαυτοῦ σμικρότητος καὶ τῶν ἑαυτοῦ μερῶν εἰς τὴν συμπλήρωσιν πάλιν τὴν ἑαυτοῦ καὶ τὸ μέγεθος κατέστη, οὐδέποτε τοῦ τέλειος εἶναι μειωθείς. ἀλλὰ καὶ ἡ τοῦ κόσμου κτίσις ἐκ τούτου φαίνεται πᾶσα συγκειμένη τοῦ ἀριθοῦ καὶ τῆς ἁρμονίας, ἐν ἓξ ἡμέραις‘ ποιήσαντος τοῦ θεοῦ τόν τε οὐρανὸν καὶ τὴν γῆς καὶ τὰ ἐν αὐτοῖς«, τῆς ποιητικῆς δυνάμεως τοῦ λόγου τὸν ἕξ ἐμπεριέχοντος ἀριθμόν, καθ’ ὃν ἡ τριὰς σωμάτων ἐστὶ ποιητική· μῆκος γὰρ καὶ πλάτος καὶ βάθος σῶμα ἐργάζεται, ὁ δὲ ἓς ἐκ τῶν τριγώνων ἐστὶ συγκείμενος. — καὶ περὶ μὲν τούτων οὐκ ἔστι καιρὸς πρέπων ἐν τῷ παρόντι δι᾽ ἀκριβείας διεξελθεῖν, ἵνα μὴ τὸ προκείμενον ἐάσαντες τὸ πάρεργον σκοπῶμεν.

Οὐκοῦν δεῦρο εἰς τὴν ἔρημον ἐλθοῦσα ταύτην καὶ ἄγονον κακῶν, καθὼς καὶ πρόσθεν εἰρήκαμεν, ἡ ἐκκλησία τρέφεται, πτερουμένη τοῖς οὐρανοπόροις τῆς παρθενίας πτεροῖς, ἃς ἀετοῦ μεγάλου πτέρυγας ὁ λόγος ἔφη, νικήσασα τὸν ὄφιν καὶ τῆς πληροσελήνου τῆς ἑαυτῆς τὰς νεφέλας τὰς δυσχειμέρους ἀπωσαμένη. τούτων γὰρ χάριν οἱ μεταξὺ πάντες οὗτοι παρηνέχθησαν λόγοι, διδάσκοντες ὑμᾶς ὠ καλλιπάρθενοι, κατὰ κράτος μιμεῖσθαι τὴν μητέρα, μὴ ἐπιθολοῦσθαι δὲ ταῖς ἀχθηδόσι καὶ τροπαῖς καὶ θλίψεσι τοῦ βίου, ἵνα συνεισέλθητε γαῦροι μετ᾽ αὐτῆς εἰς τὸν νυμφῶνα, παραφαίνουσαι τὰς λαμπάδας. μὴ οὖν ἀποδειλιάσητε πρὸς τὰς μεθοδείας« καὶ διαβολὰς τοῦ θηρός, ἀλλὰ καρτερῶς ἐνσκευάσασθε πρὸς τὴν μάχην, τὴν κόρυν »τοῦ σωτηρίου« καὶ »τὸν θώρακα« καὶ τὰς κνημῖδας ἐξωπλισμέναι. μυρίαν γὰρ αὐτῷ κατάπληξιν παρέξετε μετὰ πολλοῦ λήμματος καὶ εὐψυχίας προσβάλλουσαι, οὐδὲ στήσεται πάντως ἐκ τοῦ κρείττονος ὁρῶν τὰς ἀντιπάλους παρατεταγμένας, ἀλλ᾽ αὐτόθεν ἄρασθαι τῶν ἑπτὰ παλαισμάτων ὑμᾶς συγχωρήσει τὰ ἀριστεῖα ὁ πολυκέφαλος κοὶ πολυπρόσωπος θήρ,

πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα.
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·
καὶ τὴν μὲν κατέπεφνε πατρὸς τεράεσσι πιθήσας
Χριστὸς ἄναξ· πολλοὺς γὰρ ἀπώλεσεν, οὐδέ τις ἔτλη
λοίγιον ἐκ γενύων ἀφρὸν ἐρευγομέναν,

εἰ μὴ πρότερον ἐκλύσας αὐτὴν κατειργάσατο καὶ ἀσθενῆ καὶ εὐκαταφρόνητον ἡμῖν παντελῶς ἐποίησε Χριστός.

Διὸ θυμὸν ἄρρενα λαβοῦσαι καὶ νήφοντα ἐναντία θέσθε τῷ θηρὶ σφριγῶντι τὰ ὅπλα, μηδὲ ὑποχωρήσητε τὸ σύνολον, ἐφ᾽ οἷς θρασύνεται ταραχθεῖσαι· μυρίον γὰρ ἔξετε κλέος, ἐὰν ἀφέλητε νικήσασαι τοὺς ἐπ᾽ αὐτῷ στεφάνους ἑπτά, δι᾽ οὓς ὁ ἀγὼν ἡμῖν πρόκειται καὶ ἡ πάλη κατὰ τὸν διδάσκαλον Παῦλον. ἡ γὰρ καταγωνισαμένη τὸν διάβολον πρότερον καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλὰς τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς ἐγκρατὴς γίνεται, τοὺς ἑπτὰ μεγάλους ἀγῶνας διαθλήσασα τῆς ἁγνείας. κεφαλὴ γὰρ τοῦ δράκοντός ἐστιν ἡ ἀκρασία καὶ ἡ τρυφή· ὁ ταύτην θλάσας ἀναδεῖται τὸν στέφανον τῆς σωφροσύνης. κεφαλή ἐστι καὶ ἡ δειλία καὶ ἡ θρύφις· ὁ ταύτην πατήσας τὸν στέφανον ἀναιρεῖταιτοῦ μαρτυρίου. κεφαλή ἐστι καὶ ἡ ἀπιστία καὶ ἡ ἄνοια καὶ τὰ ἄλλα ὡσαύτως τῆς πονηρίας πλεονεκτήματα· ματα· ὁ ταῦτα κατεργασάμενος καὶ ἀνελὼν τὰς ἐπ᾽ αὐτοῖς τιμὰς ἀποφέρεται, πολυτρόπως ἐκκεραϊζομένης τοῦ δράκοντος τῆς ἰσχύος. καὶ γὰρ καὶ τὰ δέκα κέρατα καὶ κέντρα, ἅπερ ἐπὶ ταῖς κεφαλαῖς ἐλέχθη φέρειν, αἱ δέκα ἀντιθέσεις εἰσίν, ὦ καλλιπάρθενοι, τῆς δεκαλόγου, αἷς ἀνακερατίζειν εἴωθε καὶ βάλλειν τὰς τῶν πλείστων ψυχάς, τῇ »ἀγαπήσεις« ἐντολῇ »κύριον τὸν θεόν σου« τὰ ἐναντία φρονῶν καὶ τεκταινόμενος καὶ τοῖς ἐξῆς νομοθετήμασιν. ἰδὲ γὰρ κέρας αὐτοῦ διάπυρον καὶ πικρὸν τὴν πορνείαν, ᾧ τοὺς ἀκράτορας βάλλει, ἰδὲ τὴν μοιχείαν, ἰδὲ τὸ ψεῦδος, ἰδὲ τὴν φιλαργυρίαν, ἰδὲ τὴν κλοπὴν καὶ τὰ ἄλλα τούτων ἀδελφὰ καὶ συγγενῆ, ὁπόσα ἐξισχύουσιν ἀμφὶ ταῖς κεφαλαῖς αὐτοῦ ταῖς ἀνθρωποκτόνοις πεφυκότα· ἃς ὑμεῖς συμμαχήσαντος μαχήσαντος Χριστοῦ ἐκκεραΐσασαι λήψεσθε, τοῖς κατὰ τοῦ δράκοντος κατανθεμοῦσαι στεφανώμασιν ὑμῶν τὰς θείας κεφαλάς. ἡμέτερον κροκρίνειν γὰρ τὰ κρείττω καὶ προτάσσειν πρὸ τῶν γηγενῶν, αὐτοκράτορα καὶ αὐτεξούσιον τὸν λογισμὸν εἰληφότας καὶ πάσης ἀνάγκης ἐκτὸς εἰς τὸ αὐτοδεσπότως αἱρεῖσθαι τὰ ἀρέσκοντα, οὐ δουλεύοντας εἱμαρμένῃ καὶ τύχαις . . . ὡς οὐκ ἄνθρωπος ἀλλ᾽ ὡς μακάριος ἔσοιτο καὶ ἀγαθός, εἰ [μὴ] τῷ ἀνθρωπίνῳ παραδείγματι χρώμενος τοῦ Χριστοῦ καὶ πρὸς ἐκεῖνον ἑαυτὸν ζωγραφῶν κἀκεῖνον μιμούμενος βιώσει. πάντων γὰρ κακῶν μέγιστον ἔμφυτον τοῖς πολλοῖς τὸ τὰς αἰτίας τῶν ἁμαρτημάτων εἰς τὰς τῶν ἀστέρων κινήσεις ἀναφέρειν καὶ τὸν βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέγειν, καθάπερ οἱ μετὰ ἀλαζονείας πολλῆς ἀστεροσκοπήσαντες· ὑπονοίᾳ γὰρ μᾶλλον ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ ψεύδους, πολὺ τῆς τῶν ὄντως ὄντων θέας ἐξηπατήθησαν. ὅθεν εἰ παρείης, ὦ Ἀρετή, πληρωθέντος ἤδη μοι τοῦ λόγου, ὃν αὐτὴ προσέταξας, δέσποινα, ῥηθῆναι, πειράσομαι δὴ συναγωνιζομένης σου καὶ συμπνεούσης πρὸς τοὺς χαλεπαίνοντας καὶ ἀμφισβητοῦντας, ὡς οὐκ ἀληθῆ λέγομεν αὐτεξούσιον εἶναι φάσκουσαι τὸν ἄνθρωπον, διευκρινήσασθαι ὅτι

σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχουσιν, αἱρούμενοι τὰ ἡδέα πρὸ τῶν συμφερόντων.

ΑΡΕΤΗ. Ἀλλὰ παρίημι καὶ συναγωνίζομαι· τελέως γὰρ ὁ λόγος κεκοσμήσεται καὶ τούτων προσαφθέντων.

ΘΕΚΛΑ. Πάλιν οὖν δὴ πρῶτον περὶ τῶν τοιούτων εἰς δύναμιν εἴπωμεν, τὴν γοητείαν αὐτῶν, ἐφ᾽ ᾗ θρασύνονται, γυμνώ- σαντες, ὡς μόνοιν κατειληφότων ἐς οἵων ὁ οὐρανὸς κεόσμηται σχημάτων κατὰ τὰς Χαλδαϊκὰς ὑποθέσεις. φάσκουσι γὰρ ὥσπερ σφαίρας ἐντόρνου στροφαῖς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ κόσμου, τῆς γῆς κέντρου καὶ σημείου τόπον ἐχούσης. περιφορᾶς γὰρ οὔσης σφαιρικῆς, ἀνάγκη, φασί, κατὰ τὰς ὁμοίας διαστάσεις τῶν αὐτῶν ὄντων διαστημάτων μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρανὸς περιδινεῖται προγενεστέραν οὐσαν. εἰ γὰρ ἐκ σημείου καὶ κέντρου περιφέρεια συνέστηκεν, ὃ δὴ κύκλος εἶναι δοκεῖ, ἀδύνατον δὲ χωρὶς σημείου καταγραφῆναι κύκλον, κύκλον δ᾽ ἔσεσθαι ἀδύνατον ἄνευ σημείου, πῶς οὐ πρὸ πάντων ἡ γῆ, φασί, συνέστηκε καὶ τὸ κατ᾽ αὐτὴν χάος καὶ βάθος; εἰς χάος γὰρ ὄντως καὶ βάθος κατωλίσθησαν οἱ σχέτλιοι πλάνης, ὅτι »γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία«, καὶ ταῦτα καὶ τῶν παρ᾽ αὐτοῖς εἰρηκότων σοφῶν ὡς οὐδὲν Ὀλυμπίων ἐντιμότερον γηγενὲς καὶ πρεσβύτερον. ὅθεν οὐκ ἀεὶ παῖδες ὄντως οἱ Χριστὸν ἐγνωκότες, καθάπερ Ἕλληνες οἱ μύθοις μᾶλλον καὶ πλάσμασιν ἢ τέχνῃ τῶν λόγων τὴν ἀλήθειαν χώσαντες καὶ τοῖς οὐρανίοις τὰς τῶν ἀνθρώπων προσαρμόσαντες συμφοράς, οὐδὲν αἰσχύνονται καταγράφοντες τὴν τῆς οἰκουμένης περιφορὰν γεωμετρικοῖς θεωρήμασι καὶ σχήμασι. καὶ τὸν οὐρανὸν εἰδώλοις πτηνῶν καὶ νηκτῶν καὶ χερσαίων εἰσηγούμενοι κεκοσμῆσθαι καὶ τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατεσκευάσθαι, ὥστε τὰς τῶν πλανητῶν αὐτοῖς κινήσεις ἐκ τῶν τοιούτων ἡρτῆσθαι σωμάτων. εἰλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα ζωδίων φύσιν φασὶ τοὺς ἀστέρας, ἑλκομένους τοῦ ζωδιακοῦ κύκλου τῇ φορᾷ, ὡς καὶ διὰ τῆς συγκράσεως αὐτῶν ὁρᾶσθαι τὰ ἀποβαίνοντα πολλοῖς κατὰ τὰς πρὸς ἀλλήλους αὐτῶν συναφείας τε καὶ ἀπορροίας, ἀνατολάς τε αὖ καὶ δύσεις. σφαιροειδὴς γὰρ ὑπάρχων πᾶς ὁ οὐρανὸς καὶ κέντρῳ καὶ σημείῳ κατ αὐτοὺς τῇ γῇ χρώμενος, διὰ τὸ πάσας ἀπὸ τῆς περιφορᾶς τὰς προσπιπτούσας εὐθείας ἐπὶ τὴν γῆν ἔσας ἀλλήλαις εἶναι, ὑπὸ τῶν περιεχόντων αὐτὸν <ται> κύκλων· ὧν μείζων μὲν ὁ μεσημβρινὸς καὶ δεύτερος ὁ εἰς ἴσα τέμνων μέρη καλούμενος ὁρίζων, τρίτος δὲ ὁ τούτους ἐπιδιαιρῶν ἰσημερινός. παρ᾽ ἑκάτερα δὲ τούτου τροπικοὶ δύο, θερινὸς καὶ χειμερινός· καὶ ὁ μὲν πρὸς τοῖς ἀρκτίοις, ὁ δὲ πρὸς τοῖς νοτίοις. κατὰ δὲ τούτων ὁ λεγόμενος ἄζων, περὶ ὃν αἵ τε Αρκτοι, ὅ τε ἀνταρκτικὸς ἔξωθεν τῶν τροπικῶν. καὶ αἱ μὲν Ἄρκτοι περὶ αὐτὰς στρεφόμεναι καὶ βρίθουσαι τὸν διὰ τῶν πόλων ἄξονα τὴν τοῦ παντὸς ἀπεργάζονται κίνησιν κόσμου, κατὰ τὰς ἀλλήλων ἰξύας ἔχουσαι τὰς κεφαλὰς καὶ ἄχραντοι τοῦ καθ᾽ ἡμᾶς ὁρίζοντος οὖσαι, τῷ τὸν ζωδιακὸν κύκλον πάντων ἐφάπτεσθαι τῶν κύκλων, λοξὴν ποιούμενον τὴν κίνησιν· εἶναί τε ἐν αὐτῷ ζωδίων ἀριθμόν, ἃ καλεῖται δωδεκατημόρια δώδεκα, ἀπὸ Κριοῦ τὴν ἀρχὴν ἔχοντα μέχρι τῶν Ἰχθύων· ἃ κατηστερίσθαι παριστᾶσιν ἐχεμύθοις αἰτίαις· τὸν μὲν Κριὸν φάσκοντες τὸν τὴν Ἕλλην εἶναι τὴν Ἀθάμαντος διακομίσαντα καὶ Φρίξον εἰς Σκύθας, τὸ δὲ Βούκρανον, εἰς τιμὴν Διός, τοῦ τὴν Εὐρώπην ταύρου διαπεραιώσαντος εἰς τὴν Κρήτην· καὶ τὸν καλούμενον δὲ Γαλαξίαν κύκλον,

ὃς τὴν ἀρχὴν ἀπὸ τοῦ συνδέσμου τῶν Ἰχθύων ἐπὶ τὸν Κριὸν Κριὸν ἐκ τῶν τῆς Ἥρας μαζῶν Ἡρακλεῖ προχυθῆναι λόγος Διὸς ταγαῖς. ὥστε κατ᾽ αὐτοὺς πρὸ τῆς Εὐρώπης καὶ Φρίξου καὶ τοῖν Διοσκούροιν καὶ τῶν ἄλλων ζωδίων τῶν ἐξ ἀνθρώπων καὶ θηρίων καταστερισθέντων οὔπω γένεσις ἦν, ἀλλὰ χωρὶς γενέσεως ἐβίωσαν ἡμῶν οἱ παλαιότεροι. ἐπιχειρητέον γὰρ μή πως τὸ ψεῦδος ἰσχύσωμεν ὥσπερ ἰατροὶ φαρμάκοις τῶν λόγων ἀμβλύνοντες ἰατικοῖς σβέσαι, τῇδε σκοποῦσαι τὴν ἀλήθειαν.

Εἰ κρεῖσσον ἦν τὸ ὑπὸ γένεσιν εἶναι τοὺς ἀνθρώπους, ὠ σχέτλιοι, τοῦ μὴ εἶναι, δι᾽ ἣν αἰτίαν οὐκ αὐτόθεν, ἀφ᾽ οὗπερ τὸ γένος ἔφυ τὸ τῶν ἀνθρώπων, γένεσις ἦν; εἰ δὲ ἦν, τίς χρεία τῶν ὑπόγυιον καταστερισθέντων, Λέοντος Καρκίνου, Διδύμων, Παρθένου, Ταύρου, Ζυγοῦ, Σκορπίου, Κριοῦ, Τοξότου, Ἰχθύων, Αἰγόκερω, Ὑδροχόου, Περσέως, Κασσιοπείας, Κηφέως, Πηγάσου, Ὕδρου, Κόρακος, Κρατῆρος, Λύρας. Δράκοντος, καὶ τῶν ἄλλων, ἐξ ὧν εἰσηγεῖσθε κατακοσμηθέντων τοὺς πολλοὺς κατειληφέναι τὴν μαθηματικὴν ταύτην, μᾶλλον δὲ καταθεματικήν, πρόγνωσιν; ἤτοι οὐν καὶ ἐπὶ τῶν ἔμπροσθεν γένεσις ἦν, καὶ μάταιος ἡ τούτων σύστασις, ἢ οὐκ ἦν, καὶ εἰς τὴν κρείσσονα κατάστασιν καὶ διαγωγὴν ὁ θεὸς τὸν βίον μετέστησε, τῶν ἔμπροσθεν χείρονα βιωσάντων χρόνον. ἀλλὰ κρείττους οἱ παλαιότεροι τῶν νῦν, ὅθεν καὶ χρυσοῦν ἐκλήθησαν γένος. οὐκ ἄραγένεσις. εἰ ὁ ἥλιος καθιππεύων τοὺς κύκλους καὶ ἐπιπορευόμενος ἐτησίοις τε ζώδια περιόδοις τὰς μεταβολὰς ἀποτελεῖ καὶ τὰς τροπὰς τῶν καιρῶν, οἱ πρὸ τοῦ καταστερισθῆναι τὰ ζώδια γεγονότες καὶ κοσμηθῆναι τούτοις τὸν οὐρανὸν πῶς διήρκεσαν, μηδέπω θέρους, μετοπώρου, χειμῶνος, ἔαρος διακεκριμένων, δι᾽ ὧν ἡ τοῦ σώματος αὔξεται καὶ συγκρατεῖται φύσις; ἀλλ᾽ ἐξήρκεσαν καὶ πολυχρονιώτεροι γεγόνασι καὶ ῥωμαλεώτεροι παρὰ τοὺς νῦν, ὁμοίως καὶ τότε διευθύναντος τοὺς καιροὺς τοῦ θεοῦ. οὐκ ἄρα ἐκ τοιούτων ὁ οὐρανὸς πεποίκιλται σχημάτων. εἰ ὁ »ἥλιος καὶ ἡ σελήνη καὶ« τὰ »ἄλλα ἄστρα«, τὰ εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γεγονότα καὶ κόσμον οὐρανοῦ καὶ τροπὰς καιρῶν, θεῖά ἐστι καὶ κρείττονα τῶν ἀνθρώπων, ἀνάγκη καὶ κρείττονα βίον καὶ μακάριον αὐτὰ καὶ εἰρηνικὸν καὶ πολλῷ τοῦ ἡμετέρου βίου διαλλάττοντα δικαιοσύνῃ καἰ ἀρετῇ διάγειν, κινούμενα κίνησιν εὔτακτον καὶ εὐδαίμονα. εἰ δὲ τὰς τῶν θνητῶν συμφορὰς καὶ κακοφροσύνας αὐτὰ τεκταίνεται καὶ ἐνεργεῖ, περὶ τὰς ἀσελγείας ἀσχολούμενα καὶ τὰς μεταβολὰς καὶ τροπὰς τοῦ βίου ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστίν, εἰς τὴν γῆν βλέποντα καὶ τὰς ἐπικήρους καὶ ἀθέσμους πράξεις καὶ μηδὲν κρεῖττον τῶν ἀνθρώπων διάγοντα, εἴ γε τῆς ἐκείνων ἀπορροίας καὶ κινήσεως ὁ ἡμέτερος ἤρτηται βίος.

Εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐνδείας, ἀνενδεὲς δὲ τὸ θεῖον, ἀνεννόητον ἄρα πονηρίας. καὶ εἰ ἡ τῶν ἄστρων φύσις ἐγγυτέρω τέτακται τοῦ θεοῦ, κρείσσων οὐσα τῆς τῶν κρεισσόνων ἀνθρώπων ἀρετῆς, ἀνεννόητα κακίας ἐστὶ καὶ ἀνενδεῆ τὰ ἄστρα. καὶ ἄλλως· πᾶς ἡμῖν ὁμολογήσει τῶν πεπεισμένων τὸν ἥλιον καὶ ιὴν σελήνην καὶ τοὺς ἀστέρας εἶναι θεῖα καὶ μακρὰν ἀπῳκίσθαι κακίας καὶ τῶν γηγενῶν πράξεων ἀνεπίδεκτα

πάθους ἡδονῆς ὄντα καὶ λύπης· οὐ γὰρ προσεῖναι τοῖς οὐρανίοις τοιαύτας ὀρέξεις βδελυκτάς. εἰ δὲ τούτων ἐκτὸς καὶ ἀνενδεῆ πεφύκασι, πῶς τοῖς ἀν θρώποις ἃ μὴ αὐτὰ βούλονται καὶ ὧν ἐκτός εἰσι τεκταίνονται; οἱ διοριζόμενοι μὴ εἶναι τὸν ἄνθρωπον αὐτεξούσιον, ἀλλ’ ἀνάγκαις ἀφύκτοις εἱμαρμένης λέγοντες οἰακίζεσθαι καὶ ἀγρά- φοις προστάγμασιν, εἰς αὐτὸν ἀσεβοῦσι τὸν θεόν, παρεκτικὸν τῶν ἀνθρωπίνων αὐτὸν κακῶν καὶ ποιητὴν εἰσηγούμενοι. εἰ γὰρ τὴν τῶν ἀστέρων ἅπασαν κυκλικὴν κίνησιν ἐμμελῶς αὐτὸς ἀφράκτῳ σοφίᾳ καὶ ἀνεννοήτῳ διέπει, κατευθύνων τὸν οἴακα τῆς οἰκουμένης, οἱ δὲ ἀστέρες τὰς ποιότητας τῆς κακίας καὶ τῆς ἀρετῆς ἐκτελοῦσι τῷ βίῳ, ἀνάγκης δεδμοῖς τοὺς ἀνθρώπους ἕλκοντες εἰς ταῦτα, αἴτιον τῶν κακῶν τὸν θεὸν ἀποφαίνονται καὶ δότην. ἀλλ’ ἀναίτιος πᾶσι πάσης βλάβης ὁ θεός. οὐκ ἄρα γένεσις. πᾶς ὅστις κἂν βραχὺ συνετὸς ὁμολογήσει τὸ θεῖον δίκαιον, ἀγαγόν, σοφόν, ἀληθές, ὠφέλιμον, ἀναίτιον κακῶν, ἀσύμπλοκον πάθους καὶ πᾶν ὅ τι τοιοῦτον. καὶ εἰ οἱ δίκαιοι κρείσσους εἰσὶ τῶν ἀδίκων καὶ ἔστιν αὐτοῖς ἡ ἀδικία βδελυκτή, χαίρει δὲ ὁ θεὸς τῇ δικαιοσύνῃ, δίκαιος ὤν, στυγητὴ δὲ αὐτῷ ἡ ἀδικία, ἐναντίον οὐσα καὶ ἐΜ·ὸν τῇ δικαιοσύνῃ , οὐκ ἄρα ἀδικίας αἴτιος ὁ θεός. — εἰ τὸ ὠφελοῦν πάντως ἐστὶν ἀγαθόν, ἀφέλιμον δὲ σωφροσύνῃ καὶ οἴκῳ καὶ βίῳ καὶ φίλοις. ἀγαθὸν ἄρα ἐστὶν ἡ σωφροσύνη. καὶ εἰ ἡ σψφροσύνη φύσει ἀγαθόν, ἀκολασία δὲ ἐναντίον σωφροσύνῃ, τὸ δὲ ἀναντίον τῷ ἀγαθῷ κακόν , κακὸν ἄρα ἡ ἀκολασία. καὶ εἰ ἡ ἀκολασία φύσει κακόν, κατὰ ἀκολασίαν δὲ μοιχεῖαι γίνονται καὶ κλοπαὶ καὶ ὀργαὶ καὶ φόνοι, φόνοι, φύσει κακόν ἐστιν ὁ ἀκόλαστος βίος· τὸ δὲ θεῖον παθῶν ἀσύμπλοκον. οὐκ ἄρα γένεσις. — εἰ οἱ σώφρονες βελτίους εἰσὶ τῶν ἀκρατῶν καὶ ἔστιν αὐτοῖς ἡ ἀκρασία βδελυκτή. χαίρει Τε ὁ θεὸς τῇ σωφροσύνῃ, παθῶν ἀνεννόητος ὤν, στυγητὴ ἄρα καὶ τῷ θεῷ ἡ ἀκρασία. ὅτι δὲ ἡ κατὰ σωφροσύνην πρᾶξις, ἀρετὴ οὖσα, κρείττων ἐστὶ τῆς κατὰ ἀκρασίαν, κακίας οὔσης, μαθεῖν ἔστιν ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ γυναικῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ δεσποτῶν, ἀπὸ οἰκετῶν, ἀπὰ παιδαγωγῶν, ἀπὸ διδασκάλων· ἕκαστος γὰρ τούτων καὶ ἑαυτῷ καὶ τῷ κοινῷ ὠφέλιμος σωφρονῶν, σωφρονῶν, ἀκολασταίνων δὲ καὶ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός. καὶ εἰ ἴσαι διαφορά τις κιναίδων καὶ ἀνδρῶν καὶ ἀκολάστων καὶ σωφρόνων, καὶ ἔστι κρείσσων ἡ τῶν ἀνδρείων καὶ σωφρόνων, χείρων δὲ ἡ τῶν ἐναντίων, οἱ δὲ τῆς κρείσσονος ἐγγύς εἰσι καὶ φίλοι θεοῦ, οἱ δὲ τῆς χείρονος μακρὰν καὶ ἐχθροί, οἱ λέγοντες γένεσιν τὸ αὐτὸ τὴν ἀδικίαν εἶναι καὶ τὴν δικαιοσύνην διορίζονται, κιναιδίαν καὶ ἀνδρείαν, ἀδρασίαν καὶ σωφροσύνην, ὅπερ ἀδύνατον. εἰ γὰρ τῷ κακῷ τὸ ἀγαθὸν ἐναντίον, τὸ δὲ ἄδικον κακόν, τούτῳ δὲ ἐναντίον τὸ δίκαιον, τὸ δὲ δίκαιον ἀγαθόν, τὸ δὲ ἀγαθὸν ἐχθρὸν τοῦ κακοῦ ἀνόμοιον δὲ τὸ κακὸν τῷ ἀγαθῷ, ἕτερον ἄρα τὸ δίκαιον τοῦ ἀδίκου. οὐκ ἄρα αἴτιος κακῶν ὁ θεός, οὐ χαίρει τοῖς κακοῖς — ὡς συνέστησεν αὐτὸς ὁ λόγος — ἀγαθὸς ὤν. εἰ εἰσὶ δὲ πονηροί τινες, κατὰ ἔνδειαν φρενῶν εἰσιν οὗτοι πονηροὶ καὶ οὐ κατὰ γένεσιν,

σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε’ ἔχοντες.

εἰ τὸ ἀνελεῖν τινα καὶ φόνῳ τὰς χεῖρας αἱμάξαι γένεσις ἀργάζεται, τοῦτο δὲ νόμος κωλύει, κολάζων τοὺς ἀλάστορας καὶ δι’ ἀπειλῆς ἀπ[είργων τὰ τῆς γενέσεως

δόγματα, οἷον τὸ ἀδικῆσαι, μοιχεύσασθαι, καέψαι, φαρμακεῦσαι, ἐναντίον ἄρα νόμος γενέσει. ὅσα μὲν γὰρ γένεσις ὥρικε, ταῦτα νόμος κωλύει, ὅσα δὲ νόμος κωλύει, ταῦτα γένεσις ποιρῖν βιάζεται. πολέμιον ἄρα γενέσει νόμος. εἰ δὲ πολέμιον, οὐκ ἄρα κατὰ γένεσιν οἱ νομοθέται νομοθέται· τὰ γὰρ ἐναντία δογματίζοντες ζοντες γενέσει γένεσιν λύουσιν. ἤτοι οὖν γένεσις ἔστι καὶ οὐκ ἐχρῆν εἶναι νόμους, ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ γένεσιν. ἀλλὰ ἀμήχανον χωρὶς γενέσεως φῦναί τινα καὶ διαπλάσασθαί τι· οὐδὲ γὰρ τὸν δάκτυλου ἀξεῖναί φασι χωρὶς εἱμαρμένης κινῆσαί τινι. κατὰ γένεσιν ἄρα καὶ Μίνως καὶ Δράκων καὶ Λυκοῦργος καὶ Σόλων καὶ Ζάλευκος νομοθέται φύντες διεάξοντο τοὺς νόμους, ἀπαγορεύοντες μοιχείας, φόνους βίας, ἁρπαγάς, κλοπάς, ὡς οὐκ ὄντων τούτων καὶ γινομένων κατὰ γένεσιν. εἰ δὲ κατὰ γένεσιν καὶ ταῦτα, οὐ κατὰ γένεσιν οἱ νόμοι· οἳ γὰρ ἂν αὐτὴ ὑφ’ ἑαυτῆς ἀνῃρεῖτο γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα καὶ αὐτὴ ἑαυτῇ μαχομένη, καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ φόνων νόμους τιθεμένη καὶ τιμωρουμένη καὶ ἀπεξερχομένη τοὺς κακούς, ἐνταῦθα δὲ φόνους καὶ μοιχείας ἐργαζομένη. ἀλλὰ τοῦτο ἀδύνατον· οὐδὲν γὰρ ἀλλόκοτον αὐτὸ ἑαυτοῦ καὶ αὐτὸ ἑαυτῷ ἀπεχθανόμενον καὶ αὐτὸ ἑαυτὸ καταλύον καὶ ἀσύμφορον αὐτὸ ἑαυτῷ. οὐκ ἄρα γένεσις. — εἰ κατὰ γένεσιν πᾶν ὅ τί ποτ’ οὖν γίνεται καὶ ἔστι δίχα γενέσεως οὐδέν, ἀνάγκη καὶ τὸν νόμον γενέσει γεγονέναι. ἀλλὰ νόμος γένεσιν ἀναιρεῖ, διδακτήν διδάσκων τὴν ἀρετὴν καὶ ἐξ ἐπιμελείας προσγινομένην, φευκτὴν δὲ τὴν κακίαν καὶ ἐξ ἀπαιδευσίας φυομένην. οὐκ ἄρα γένεσις. — εἰ τὸ ἀλλήλους ἀδικεῖν καὶ τὸ ὑπ’ ἀλλήλων ἀδικεῖσθαι γένεσις ποιεῖ, τίς χρεία νόμων; εἰ δὲ ἵνα τοὺς ἁμαρτάνοντας ἀμύνωνται, φροντίζοντος τοῦ θεοῦ τῶν ἀδικουμένων, ἄμεινον ἦν κακοὺς μὴ ποιῆσαι καθ’ εἱμαρμένην ἢ μετὰ τὸ ποιῆσαι νόμοις ἀπανορθοῦσαι. ἀλλ’ ἀγαθὸς ὁ θεὸς καὶ σοφὸς καὶ τὰ κρείσσω ποιῶν. οὐκ ἄρα γένεσις. — ἤτοι ἀνατροφαὶ καὶ τὰ ἔθη τῶν ἁμαρτημάτων εἰσὶν αἴτια, ἢ τὰ πάθη τῆς ψυχῆς καὶ αἱ διὰ σώ- ματος ἐπιθυμίαι. ὁπότερον δ’ ἂν τούτων ᾖ τὸ αἴτιον, ὁ θεὸς ἀναίτιος. — εἰ κρεῖσσόν ἐστι τὸ δίκαιον εἶναι τοῦ ἄδικον διὰ τί τοιοῦ- τος αὐτόθεν ὁ ἄνθρωπος ἀπὸ τῆς γενέσεως οὐ γίνεται; εἰ δὲ ὕστερον, ὅπως ἀμείνων γενηθῇ, σωφρονίζεται μαθήμασι καὶ νόμοις, ὡς αὐτεξούσιος ἄρα σωφρονίζεται καὶ οὐχ ὡς ἐκ φύσεως ὤν κακός. — εἰ οἱ πονηροὶ πονηροὶ κατὰ γένεσιν πεφύκασι προνοίας ταγαῖς, οὐκ εἰσὶ μεμπτοὶ καὶ ἄξιοι τιμωρίας τῆς ἐκ τῶν νόμων, ζῶντες κατὰ τὴν οἰκείαν φύσιν, ἐπεὶ μὴι δεδύνηνται μεταβληθῆναι. — καὶ ἄλλως· εἰ οἱ ἀγαθοὶ κατὰ τὴν οἰκείαν φύσιν ζῶντές εἰσιν ἐπαινετοί, τῆς γενέσεως οὔσης αἰτίας τοῦ εἶναι τοὺς ἀγαθοὺς ἀγαθούς, οὐδὲ οἱ πονηροὶ ἄραι κατὰ τὴν οἰκείαν φύσιν ζῶντες, αἰτιατέοι παρὰ δικαίῳ κριτῇ. καὶ εἰ χρὴ διαρρήδην εἰπεῖν, ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν οὐδὲν ἁμαρτάνει· οὐ γὰρ ἑαυτὸν ἀποίησε τοιοῦτον, ἀλλ’ ἡ εἱμαρμένη, καὶ ζῇ κατὰ τὴν ταύτης κίνησιν ἀγόμενος ἀφύκτοις ἀνάγκαις. οὐδεὶς οὖν κακός. ἀλλ’ εἰσὶ κακοί, καὶ ἡ μὲν κακία ψεκτὴ καὶ ἐχθρὰ τῷ θεῷ, ὡς συνέστησεν ὁ λόγος ἡ δὲ ἀρετὴ προσφιλὴς καὶ ἐπαινετή, θεοῦ διατάξαντος νόμον τιμωρὸν τῶν κακῶν. οὐκ ἄρα εἱμαρμένη.

Καὶ τί τοσοῦτον ἐπιδιατρίβουσα τοῖς ἀλέγχοις εἰς μῆκος ἐξάγω τὸν λόγον, τὰ ἀναγκαιότερα καὶ χρήσιμα πρὸς πειθὼ καὶ συγκατάθεσιν τοῦ συμφέροντος ἐκθεμένη καὶ πρόδηλον πᾶσι καὶ ἐξ ἀλίγων τὴν διαφωνίαν τοῦ τεχνάσματος αὐτῶν ἐξεργασαμένη; ὥστε διορᾶν καὶ ἐπαισθάνεσθαι τὴν πλάνην ἤδη καὶ παιδίον, ὡς ἐφ᾽ ἡμῖν ἐστι τὸ διαπράξασθαι τὸ καλὸν ἢ τὸ κακὸν καὶ οὐκ ἐν τοῖς ἀστράσι. δύο γὰρ κινήσεε ἐν ἡμῖν ἐστόν· ἐπιθυμία πεφυκότε σαρκὸς καὶ ψυχῆς, διαφέρετον ἀλλήλοιν. ὅθεν καὶ δύο ἐλαβέτην ὀνόματε· ἡ μὲν γὰρ ἀρετῆς, ἡ δὲ κακίας. δεῖν δὲ τῇ καλλίστῃ καὶ χρυσῇ πείθεσθαι τῆς ἀρετῆς ἀγωγῇ, τὰ βέλτιστα πρὸ τῶν φαύλων αἱρουμένους. — ἀλλὰ περὶ τούτων ἅλις ἤδη, καὶ ἐφέξω τὸν λόγον. αἰδοῦμαι γὰρ μετὰ τοὺς τῆς ἁγνείας λόγους καὶ ἐγκαλύπτομαι, τὰς τῶν μετεωρολόγων ἢ ματαιοσκόπων ἀνθρώπων ἀναγκαζομένη δόξας εἰσηγεῖσθαι, οἳ τὸν τῆς ζωῆς μετ᾽ οἰήσεως καταναλίσκουσι χρόνον, οὐδενὶ ἢ μυθικοῖς ἐνδιατρίβοντες πλάσμασι.

Ταῦτά σοι καὶ παρ᾽ ἡμῶν, ὦ δέσποινα Ἀρετή, ἀπὸ θεορρήτων συγκαθυφασμένα λόγων προσκομιζέσθω τὰ δῶρα.

ΕΥΒΟΥΛ. Ὡς λίαν ἀγωνιστικῶς ἡ Θέκλα καὶ ἐνδόξως, ὦ Γρηγόριον.

ΓΡΗΓΟΡ. Τί οὖν, εἰ αὐτῆς ἐκείνης ἀκηκόεις ῥύδην καὶ εὐτρόχῳ τῇ γλώττῃ μετὰ τὰ πολλῆς χάριτος καὶ ἡδονῆς διαλεγομένης; ὥστε ἀγασθῆναί τινα προσέχοντα, καὶ τῆς μορφῆς ἀπανθούσης τοῖς λόγοις, ὡς ἀνδιαθέτως καὶ τῷ ὄντι φανταζομένη περὶ οἷν ἀφηγεῖτο διετέλει, ὑπερυθραινομένης αὐτῇ τῆς ὄψεως αἰδοῖ· ὅλη γὰρ εἶναι πέφυκε λευκὴ καὶ σῶμα καὶ Ψυχήν.

ΕΥΒΟΥΛ. Ὀρθῶς, ὠ Γρηγόριον τοῦτα φῄς, καὶ οὐδὲν αὐτῶν ψεῦδος. ἔγνων γὰρ καὶ ἀπὸ τῶν ἄλλων ἀνδραγαθημάτων μῆτιν αὐτῆς, καὶ λέγειν ὅσα καὶ οἷα κατώρθωσεν, ὑπερβαλλούσης ἀπάπης ἐπίδειξιν ποιουμένη Χριστῷ, καὶ ὡς διαπρεπὴς πολλάκις ἐφάνη τοῖς μεγάλοις καὶ πρώτοις ἄθλοις ὑπαντῶσα τῶν μαρτύρων ἴσην τῇ προθυμίᾳ τὴν σπουδὴν κεκτημένη καὶ τῇ ἀκμῇ τῶν βουλευμάτων ιην ρωμην του ωματος.

ΓΡΗΓΟΡ. Ἀληθέστατα καὶ σὺ φῄς· ἀλλὰ μὴ διατρίβωμεν. τούτων γὰρ πέρι καὶ αὖθις ἔσται πολλάκις ἡμᾶς διαλέξασθαι. νῦν δὲ πρῶτον καὶ τῶν ἑξῆς παρθένων ἀξαγγεῖλαί με δεῖ σοι τοὺς λόγους, καθὼς ὑπέστην, μᾶλλον δὲ Τυσιανῆς καὶ Δομνίνας· αὗται γὰρ ὕτι περιλείπονται.

Book 9: Λόγος θ΄. Τυσιανή

Ὡς οὐν ἀπεπαύσατο καὶ ἡ φέκλα τοσαῦτα εἰποῦσα, ἴφη προστάξαι τὴν Ἀρετὴν ἡ Θεοπάτρα Ι τῇ Τυσιανῇ λέγειν· τὴν δὲ μειδιάσασαν ἀμπροσθεν αὐτῆς παρελθεῖν καὶ φάναι· Ὦ Ἀρετή, παρθενίας ἐρασταῖς ἀπέραστον καύχημα, κἀγὼ συναντιληψομένην μοι παραστῆναί σε παρακαλῶ, μή πως ἀπορήσω λόγων. ἅτε πολλῶν ἤδη καὶ παντοδαπῶν εἰρημένων. διὸ καὶ ·παραιτοῦμαι τὰ προοιμιώδη ταῦτα καὶ προκατασκευαστικὰ τῶν λόγων, ἵνα δὴ μὴ χρονίζουσα προσήκοντα τούτοις ἐφαρμόττειν αὐτῶν ἐκπέσω τῶν προκειμένων· οὕτως ἔνδοξόν ἐστιν ἡ παρθενία καὶ τίμιον καὶ μεγαλοπρεπές.

Ὁ θεὸς τὴν ἑορτὴν τῆς σκηνοπηγίας διδάσκων τῆς ἀληθινῆς τοὺς ἀληθινοὺς Ἰσραηλίτας, πῶς ἑορτάζειν δεῖ καὶ τιμᾶν ἐν τῷ Λευϊτικῷ παρίστησι μᾶλλον τῶν ἄλλων ἁγνείᾳ φάσκων δεῖν τὴν ἑαυτοῦ σκηνὴν ἕκαστον κοσμεῖν. παραθήσομαι δὲ καὶ τὰ ἀπὸ τῆς γραφῆς, ἀφ’ ὧν ἀναμφισβητήτως δειχθήσεται πᾶσιν ὅσον καὶ θεῷ πρόσφορόν ἐστι καὶ προσφιλὲς τὸ κατόρθωμα τοῦτο τῆς ἁγνείας. »καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς γῆς, ἑορτάσετε κυρίῳ ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις ἔσται. καὶ λήφεσθε τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον καὶ κάλλυντρα φοινίκων καὶ κλάδους ξύλου ξύλου καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάρρου, εὐφρανθῆναι ἔναντι κυρίου τοῦ θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυτοῦ, νόμιμον αἰώνιον εἰς εἰς γενεὰς ὑμῶν. ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν· ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας. πᾶς αὐτόχθων ἐν Ἰσραὴλ κατοικήσουσιν ἐν σκηναῖς, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ γῆς Αἰγύπτου. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.‘ πάντως ὑπολήψονται οἱ Ἰουδαῖοι — ψιλῷ τῆς γραψῆς τῷ γράμματι περιπετόμενοι, ὥσπερ καὶ τὰ καλούμενα ψυχία τῶν λαχάνων τοῖς φύλλοις, ἀλλὰ μὴ τοῖς ἄνθεσι καὶ καρποῖς ὡς ἡ μέ- λισσα — τούτους τοὺς λόγους καὶ ταύτας τὰς νομοθεσίας περὶ σκηνῆς τοιαύτης οἵας οὗτοι τεκταίνονται λελέχθαι, ὡς τοῦ θεοῦ χαίροντος ταῖς ἐξιτήλοις κατακοσμήσεσιν, αἷς αὐτοὶ κατακοσμοῦντες συσκευάζουσιν ἐκ τῶν ἀκροδρύων, οὐ συνησθημένοι τῶν μελλόντων ἀγαθῶν‘ τὸν πλοῦτον. ὡς αὖρα ταῦτα καὶ σκιαὶ φασματώδεις προεξαγγέλλουσαι τὴν ἀνάστασιν καὶ πῆξιν τοῦ πεπτωκότος εἰς γῆν ἡμῶν σκηνώματος, ὅ τῇ ἑβδόμῃ χιλιονταετηρίδε χάλιν ἀθάνατον ἀπειληφότες ἑορτάσομεν τὴν μεγάλην ἑορτὴν τῆς ἀληθινῆς

σκηνοπηγίας ἐν τῇ καινῇ καὶ ἀλύπῳ κτίσει, συντελεσθέντων τῶν τῆς γῆς καρπῶν καὶ τῶν ἀνθρώπων μηκέτι γεννώντων καὶ γεννωμένων, ἀλλὰ καταπαύσαντος ἀπὸ τῶν ἔργων τῆς κοσμοποιίας τοῦ θεοῦ. ἀπειδὴ γὰρ ἐν ἓξ ἡμέραις ὁ θεὸς κατεσκεύασε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ συνετέλεσε πάντα τὸν κόσμον καὶ »κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε, καὶ εὐλόγησε τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν‘, ἐντεῦθεν συμβολικῶς τῷ μηνὶ τῷ ἑβδόμῳ, ὁπόταν ἤδη συντελεσθῶσιν οἱ καρποὶ τῆς γῆς, ἑορτάζειν προστασσόμεθα τῷ κυρίῳ, ὅ δή ἐστιν, ὁπόταν ὁ κόσμος οὗτος συντελεσθῇ τῇ ἑβδόμῃ χιλιονταετηρίδι, ὅτε ὡς ἀληθῶς ὁ θεὸς συντελέσας τὴν οἰκουμένην ἀφ’ ἡμῖν »εὐφρανθήσεται«. νῦν γὰρ ἀκμὴν ἔτι πάντα δημιουργεῖται τῇ διαρκεῖ βουλήσει αὐτοῦ καὶ ἀνεννοήτῳ δυνάμει, ἀναδιδούσης ἔτι τῆς γῆς τοὺς καρπούς, καὶ τῶν ὑδάτων συναγομένων »εἰς τὰς συναγωγάς«, καὶ τοῦ φωτὸς ἔτι διαχωριζομένου, καὶ τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων ἔτι δημιουργουμένου, κοὶ τοῦ ἡλίου »εἰς ἀρχὰς« ἀνατέλλοντος »τῆς ἡμέρας« καὶ τῆς σελήνης εἰς ἀρχὰς« ἔτι τῆς νυκτός«, καὶ τῶν τετραπόδων καὶ θηρίων καὶ ἑρπετῶν ἐκ τῆς γῆς ἀναδιδομένων καὶ πτηνῶν καὶ νηκτῶν ἐκ τῆς ὑγρᾶς οὐσίας. τότε δὲ ὁπόταν συντελεσθῶσιν οἱ καιροὶ καὶ παύσηται ὁ θεὸς ἐργαζόμενος ταύτην τὴν κτίσιν, τῷ ἑβδόμῳ μηνί, τῇ μεγάλῃ τῆς ἀναστάσεως ημερᾳ, ἑορτη συγκροτεῖται τῳ κυρίω της σκηνοπηγιας ημων, ἧς εἰσιν ἐν τῷ Λευϊτικῷ τὰ λεγόμενα σύμβολα καὶ τύποι, ἅ ἐξιχνεύοντας χρὴ νοεῖν τὴν ἀλήθειαν γυμνήν. »τῶν δέ« γάρ »ἀκούσας« φησί σοφὸς σοφώτερος ἔσται, νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.« ὅθεν αἰσχυνέσθωσαν οἱ Ἰουδαῖοι, τὰ βάθη τῶν γραφῶν μὴ συνῃσθημένοι καὶ πάντα σωματικὰ τὸν νόμον ἡγούμενοι καὶ τοὺς προφήτας εἰρηκέναι ἅτε τῶν κοσμικῶν ἐφιέμενοι καὶ τὸν ἔξωθεν πλοῦτον τοῦ περὶ ψυχὴν προ- κρίνοντες. διαιρουμένων γὰρ τῶν γραφῶν εἰς τὸν περὶ τῶν παρῳχηκότων καὶ μελλόντων τύπον, ἀποπηδήσαντες οἱ σχέτλιοι τῶν μελ- λόντων ὡς παρῳχηκότων ἤδη τελοῦσι τοὺς τύπους, καράπερ καὶ ἐπὶ τῆς τοῦ προβάτου σφαγῆς, ἀνάμνησιν τῆς κατ’ Αἴγυπτον τῶν πατέρων αὐτῶν γεγενημένης σωτηρίας ἡγούμενοι μόνην εἶναι τὸ μυστήριον τοῦ προβάτου, ὁπότε πατασσομένων τῶν πρωτοτόκων τῆς Αἰγύπτου αὐτοὶ διεώθησαν, τὰς φλιὰς τῶν σφετέρων οἴκων φοινίξαντες τῷ αἵματι· οὐκέτι δὲ καὶ τῆς σφαγῆς τύπον ἡγήσαντο τοῦτο προδηλωτικὸν γεγονέναι Χριστοῦ, οὐ αἱ κατησφαλισμέναι τῷ αἵματι καὶ σφραγισθεῖσα ψυχαί, τῆς οἰκουμένης ἐκπυρουμένης καὶ τῶν πρωτοτόκων ὀλοθρευομένων τέκνων τοῦ Σατανᾶ, περισωθήσονται τῆς ὀργῆς, τῶν τιμωρητῶν ἀγγέλων ἐντραπησομένων τὴν ἀπὸ τοῦ αἵματος ἐπ’ αὐτοῖς ἐκτετυπωμένην σφραγῖδα.

Καὶ ταῦτα μὲν οὖν ὡς ἐπὶ παραδείγματος εἰρήσθω δεικνυούσης, ὅτι τὰ παρόντα τύπους ἡγούμενοι τῶν ἤδη γεγονότων οἱ Ἰουδαῖοι τῆς ἐλπίδος τῶν μελλόντων« ἐξώκειλαν »ἀγαθῶν« , μηδὲ τοὺς τύπους τῶν εἰκόνων βουληθέντες εἶναι προκαταγγελτικούς, μηδὲ τὰς εἰκόνας τῆς ἀληθείας. ὁ μὲν γὰρ »νόμος« τῆς εἰκόνος ἐστὶ τύπος καὶ σκιά, τουτέστι τοῦ εὐαγγελίου, ἡ δὲ εἰκών, τὸ εὐαγγέλιον, αὐτῆς τῆς ἀληθείας. οἱ γὰρ παλαιότεροι καὶ ὁ νόμος τοὺς τῆς ἐκκλησίας

προεξήγγειλαν ἡμῖν προφητεύοντες χαρακτῆρας, ἡ δὲ ἐκκλησία τοὺς τῶν καινῶν αἰώνων. ὅθεν ἡμεῖς οἱ τὸν εἰπόντα Χριστόν »ἐγώ εἰμι ἡ ἀλήθεια« δασάμενοι τὰς μὲν σκιὰς καὶ τοὺς τύπους ἴσμεν πεπαυμένους, ἐπὶ δὲ τὴν ἀλήθειαν σπεύδομεν , τὰς ἀναργεῖς αὐτῆς εἰκόνας προκαταγγέλλοντες. ἐκ μέρους γάρ« ἔτι καὶ ὡς »δι ἐσόπτρου. »γινώσκομεν«, ἐπεὶ μηδέπω τὸ τέλειον‘ ἦκεν, ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ ἀνάστασις, εἰς ἡμᾶς, ὅτε »καταργηθήσεται τὸ ἐκ μέρους«. τότε γὰρ αἱ σκηναὶ πήγνυνται πάντων ἡμῶν, ὁπότε τῶν ὀστῶν συγκολλωμένων καὶ συμπηγνυμένων ταῖς σαρξὶν ἀνίσταται σῶμα. τότε τὴν ἡμέραν τῆς χαρᾶς ἑορτάζομεν κυρίῳ εἰλικρινῶς, ὁπότε τὰς σκηνὰς αἰωνίους ἀποληψόμεθα, οὐκέτι θνηξομένας ἢ λυθησομένας εἰς γῆν χώματος. ἦν γὰρ ἡμῶν καὶ πρόσθεν ἄπτωτος ἡ σκηνή· ἀλλὰ διὰ τὴν παράβασιν ἐσαλεύθη καὶ ἐκλίθη, τοῦ θεοῦ τὸ ἁμάρτημα λύσαντος θανάτῳ, ἵνα μὴ ἀθανάτως ἁμαρτωλὸς ὁ ἄνθρωπος ὤν, ζώσης ἐν αὐτῷ τῆς ἁμαρτίας, αἰωνίως κατάκριτος γενηθῇ. καὶ διὰ τοῦτο καὶ τέθνηκεν, οὐ γενόμενος θνητὸς ἢ φθαρτός καὶ διεκρίθη τῆς σαρκὸς ἡ ψυχή , ἵνα νεκρωθῇ διὰ τοῦ θανάτου τὸ παράπτωμα, μηκέτι δυνάμενον ζῆν ἐν τῷ τεθνηκότι.

Ὅθεν ἀποθανόντος τοῦ παραπτώματος καὶ διεφθαρμένου πάλιν ἀθάνατος ἀνίπταμαι, καὶ ὑμνῶ τὸν θεὸν τὸν διὰ θανάτου τὰ τέκνα ἐκ θανάτου σῴζοντα, καὶ ἑορτάζω νομίμως αὐτῷ, κοσμήσασα τὴν σκηνήν μου τὴν σάρκα τοῖς ἔργοις τοῖς καλοῖς, ὥσπερ κἀκεῖ ταῖς πενταφώτοις αἱ παρθένοι λαμπάσιν.

ἐξεταζομένη τῇ πρώτῃ τῆς ἀναστάσεως ἡμέρᾳ εἰσφέρω τὰ προστεταγμένα, εἰ κεκόσμημαι τοῖς τῆς ἀρετῆς καρποῖς, εἰ τοῖς κλάδοις τῆς ἁγνείας κατασκιάζεται. νόει γάρ μοι τὴν ἀνάστασιν εἶναι τὴν σκηνοπηγίαν, νόει μοι καὶ τὰ εἰς τὴν σύνθεσιν παραλαμβανόμενα τῆς σκηνῆς τὰς πράξεις εἶναι τῆς δικαιοσύνης. λαμβάνω οὖν τῇ ἡμέρᾳ τῇ πρώτῃ τὰ ὑποτεταγμένα, οἱονεὶ τῇ ἡμέρᾳ ᾗ κρίνομαι, εἰ τὴν σκηνὴν ἐκόσμησά μου τοῖς προστεταγμένοις, εἰ εὑρίσκονται ταῦτα ἐν αὐτῇ, ἅπερ ἐνταῦθα μὲν ἐν τῷ κόσμῳ κτήσασθαι προστασσόμεθα, ἐκεῖ δὲ προσφέρειν τῷ θεῷ. — ἴτε γὰρ καὶ τὰ ἑξῆς ἐπισκεψώμεθα. καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ« φησίν »ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον καὶ κλάδους ξύλου δασεῖς <καὶ ἰτέας> καὶ κλάδους κλάδους ἐκ χειμάρρου, εὐφρανθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν.« καρπὸν ὡραιότατον ξύλου οἱ τὴν »καρδίαν ἀπερίτητοι« Ἰουδαῖοι διὰ τὸ μέγεθος τὸ κίτριον ἡγοῦνται τυγχάνειν , οὐδὲ ἐγκαλύπτονται κιτρίῳ τὸν θεὸν λέοντες τιμᾶσθαι, ᾧ »τὰ τετράποδα πάντα τῆς γῆς οὐκ εἰσὶν εἰς ὁλοκαύτωσιν ἱκανὰ καὶ ὁ λίβανος εἰς καῦσιν(καὶ ὅλως τί τὸ κίτριον. ὦ ἀτεράμονες, ὡραῖον, διὰ τί μὴ καὶ ἡ σταφυλὴ μᾶλλον ὡραία; διὰ τί μὴ καὶ ἡ ῥόα; διὰ τί μὴ καὶ τὸ μῆλον καὶ τὰ ἄλλα ἀκρόδρυα τὰ μᾶλλον διαφέροντα τοῦ κιτρίου; ἀμέλει ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων πάντων ὁ Σολομὼν τούτων ὡραίων μνημονεύσας τὸ κίτριον ἀπεσιώπησε μόνον. ἀλλὰ τούτων ἀπεβουκολήθησαν οἱ ἄφρονες μὴ νοήσαντες τὸ ξύλον τῆς ζωῆς«, ὅ πρόσθεν μὲν ὁ παράδεισος ἔφερε, νῦν δὲ πᾶσιν ἀνεβλάστησεν ἡ ἐκκλησία, τὸν ὡραῖον καὶ εὐπρεπῆ τῆς πίστεως ποιοῦν καρπόν. — τοιοῦτον ἐληλυθότας καρπὸν τῇ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ εἰς τὸ δικαστήριον ἡμᾶς κομίζειν δεῖ Χριστοῦ. ἐὰν μὴ τοιοῦτον σχῶμεν καὶ ἡμεῖς καρπόν, οὐ δυνησόμεθα συνεορτάσαι τῷ

θεῷ, οὐ τευξόμεθα κατὰ τὸν Ἰωάννην τῆς πρώτης ἀναστάσεως· τὸ γὰρ ξύλον ἐστὶν ἡ πρωτότοκος πάντων σοφία. »ξύλον ζωῆς ἐστι τοῖς ἀντεχομένοις αὐτῆς« φησὶν ὁ προφήτης »καὶ τοῖς ἐπερειδομένοις ἐπ’ αὐτὴν ὡς ἐπὶ κύριον ἀσφαλής ·« »ξύλον παρὰ τὰς διεξόδους πεφυτευμένον τῶν ὑδάτων, ὅ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ«, διδασκαλία καὶ ἀπάπη καὶ σύνεοίς ἐστιν, ἐν καιρῷ προσήκοντι τοῖς ἐπὶ τὰ ὕδατα τῆς ἀπολυτρώσεως ἀφικνουμένοις διδομένη. — ὁ μὴ πιστεύσας Χριστῷ, μηδὲ τὴν ἀρχὴν αὐτὸν εἶναι, τὸ ξύλον τῆς ζωῆς, ᾐσθημένος, οὐκ ἔχων δεῖξαι τῷ θεῷ τῷ ὡραιοτέρῳ τῶν ὡραίων καρπῶν τὴν σκηνὴν αὐτοῦ κεκοσμημένην , πῶς ξορτάσει; πῶς εὐφρανθήσεται; θέλεις γνῶναι τὸν ὡραῖον ὡραῖον τοῦ ξύλου; ἐπίσκεψαι τοὺς λόγους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πῶς εἰσιν ὡραῖοι κάλλει »παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων«. ὡραῖος καρπὸς ἐβλάστησε διὰ διὰ Μωσέως ὁ νόμος· ἀλλ’ οὐχ οὕτως ἦν ὡραῖος, ὡς τὸ εὐαγγέλιον. ἀκεῖνος μὶν γὰρ τύπος τις ἦν καὶ σκιὰ τῶν μελλόντων πραγμάτων«, τοῦτο δὲ »ἀλήθεια« καὶ ζωῆς χάρις.. ὡραῖος ἦν τῶν προφητῶν ὁ καρπός, ἀλλ’ οὐχ οὕτως ὡραῖος, ὡς ὁ ἐξ αὐτοῦ γεωργούμενος τῆς ἀφθαρσίας.

Καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον καὶ κάλλυντρα φοινίκων‘ «, λέγων τὴν ἄσκησιν τῶν θείων μαθημάτων, οἷς ἀκκαθαίρεται καὶ κασμεῖται ψυχὴ ψυχὴ τὰ πάθη, ἀποσαρουμένων ἀπ’ αὐτῆς καὶ ἐκβαλλομένων τῶν ἁμαρτημάτων δεῖ γὰρ καθαροὺς καὶ κεκοσμημένους ἤσκειν εἰς τὴν ἑορτήν, ὥσπερ κοσμήτρῳ ταῖς ἀσκήσεσι καὶ μελέταις τῆς ἀρετῆς πεφιλοπονημένους· ὅτι μελέταις ἐπιπόνοις καὶ ἀσκήσεσι καθαιρόμενος ὁ νοῦς τῶν ἐπικαλυπτόντων αὐτὸν ἀλλοίων διανοημάτων ὀξυδερκεῖ πρὸ·ς τὴν ἀλήθειαν, καθάπερ καὶ ἡ χήρα τὸν κοδράντην ἐν τοῖς εὐαγγελίοις ἀνεύρατο μετὰ τὸ σαρῶσαι τὸν οἶκον καὶ ῥῖψαι τὰ κόπρια, τὰ ἐπισκοτοῦντα καὶ καλύπτοντα πάθη τὴν ψυχήν, τὰ ἀπὸ τῆς θρύψεως ἡμῶν καὶ τῆς ἀμελείας πληθύνοντα. καὶ τοίνυν ὁ σπουδάζων εἰς τὴν ἑορτὴν τῶν σκηνῶν ἐκείνων φθάσαι καὶ τοῖς ἀνίοις συγκαταλεχθῆναι πρῶτον τὸν ὡραῖον τὴν πίστιν κτησάσθω καρπόν , εἶτα τὰ κάλλυντρα, τὴν ἄσκησιν καὶ μελέτην τῶν γραφῶν· εἶτα τοὺς ἐριθηλέας ἐφεξῆς κλάδους τῆς ἀγάπης καὶ δασεῖς. οὓς καὶ μετὰ τὰ κάλλυντρα παρεγγυᾷ λαμβάνεσθαι, κλάδους δασεῖς εὐθυβολώτατα τὴν ἀπάπην φράσας· τὸ γὰρ δασὺ κατάκαρπον ὅλον ἐστὶ καὶ πυκνόν, μηδὲν ψιλὸν ἢ διάκενον ἔχον, ἀλλὰ πάντα πεπληρωμένα, καὶ τοὺς ὄρπηκας καὶ τὰ στελέχη. τοιοῦτον γάρ ἐστιν ἡ ἀπάπη, μηδαμόθεν ὑπόκενος ἢ ἄκαρπος οὐσα. ἦ γάρ, »ἐὰν πωλήσω τὰ ὑπάρχοντά μου καὶ δώσω πτωχοῖς, καὶ ἐὰν τὸ σῶμά μου πυρὶ παραδώσω , καὶ ἐὰν τοσαύτην πίστιν, ὥστε ὄρη μεθιστᾶν, κτήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.. ἡ ἀγάπη ἄρα τὸ κατάκαρπόν ἐστι καὶ δασύτατον ξύλον πάντων, ἡ γέμουσα καὶ πεπληρωμένη τῶν χαρισμάτων. — εἶτα τί παραλαμβάνεσθαι βούλεται καὶ ἕτερον; κλάδους ἰτείνους φησί, τὴν δικαιοσύνην ἰτείνους κικλήσκων κλάδους. ἀνθ’ ὧν οἱ δίκαιοι κατὰ τὸν προφήτην »ὡς ἀναμέσον ὕδατος ἀνατέλλουσι χόρτος καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ«, θάλλοντες τῷ λόγῳ. καὶ ἐπὶ πᾶσι τοὺς ἀμείνους ἐπικοσμοῦντας τὴν σκηνὴν παρακελεύεται προσφέρεσθαι κλάδους διὰ τὸ φερώνυμον εἶναι τὸ δένδρον τῆς

ἁ\γνείας, ᾧ κατακοσμεῖται τὰ προειρημένα. ἐρρέτωσαν οἱ ἀκολασταίνοντες νῦν καὶ διὰ τὰς ἑαυτῶν ἡδυπαθείας ἁγνείαν ἀποδιωθούμενοι. πῶς γὰρ εἰς τὴν ἑορτὴν συνεισελεύσονται Χριοτῷ, μὴ κοσμήσαντες ἑαυτῶν τὴν σκηνὴν κλάδοις ἁγνείας, τῷ θεοποιῷ καὶ μακαρίῳ φυτῷ; ᾧ τοὺς εἰς τὴν ἄγυριν σπεύδοντας ἐκείνην καὶ τὸν γάμον ἀναδήσασθαι δεῖ καὶ κατασκιάζεσθαι τὰς ἀσφύας. ἴτε γάρ, ὦ καλλιπάρθενοι, τὴν γραφὴν αὐτὴν ἐπισκέψασθε καὶ τὰς ἐντολάς, πῶς ὡς ἐπὶ συμπληρώματος τῶν προειρημένων κατορθωμάτων παρέλαβεν ὁ λόγος τὴν ἁγνείαν, διδάσκων ὅσον διαπρεπὴς καὶ τριπόθητος ἔσται τῇ ἀναστάσει καὶ ὅτι χωρὶς αὐτῆς οὐδεὶς τεύξεται τῶν ἐπαγγελμάτων. ἧν ἐξαιρέτως γεωργοῦμεν ἡμεῖς αἱ παρθενεύουσαι καὶ προσφέρομεν κυρίῳ. χρῶνται δὲ καὶ οἱ πρὸς τὰς ἑαυτῶν ἀγνεύ- οντες γαμετάς, καὶ ὥσπερ ἀμφὶ τὸ στέλεχος κλῶνας αὐτῆς φέρουσι βλαστήσαντας σωφροσύνην , τῶν ἄνω μὴ ἐφικνούμενοι καὶ μεγάλων αὐτῆς ἐπιφαῦσαι πλάδων καθάπερ ἡμεῖς· ὅμως, εἰ καὶ μικρούς, οὐδὲν ἧσσον προσφέρουσι δὴ καὶ αὐτοὶ κλῶνας ἁγνείας. οἱ δὲ οἰστρηλατούμενοι, κἂν μὴ πορνεύσωσιν, ἀλλὰ καὶ εἰς μόνην τὴν ἔννομον ἀδιαστόλως ἀπιμίγνυσθαι θέλγωνται γαμετήν, πῶς ἑορτάσουσιν; πῶς εὐφρανθήσονται, μὴ κοομήσαντες τὴν σκηνὴν ἑαυτῶν, τὴν σάρκα, τοῖς κλάδοις τῆς ἄγνου, μηδὲ εἰσακούσαντες τοῦ εἰρημένου »ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς οἱ μὴ ἔχοντες ὦσιν‘;

Διὰ τοῦτο πάντων μάλιστα τοὺς τῶν ἀγώνων ἐφιεμένους καὶ μεγάλῃ φρονήσει χρωμένους τὴν ἁγνείαν ἀμελλητί φημι εἶν καὶ τιμᾶν ὡς ὠφελιμωτάτην καὶ ἐπίδοξον. ἐν γὰρ τῇ καινῇ καὶ ἀλύπῳ κτίσει, ὅς ἂν ἁγνείας μὴ εὑρεθῇ κλάδοις κέκοσμημένος, οὐ τεύξεται τῆς ἀναπαύσεως, μὴ πληρώσας τὴν ἐντολὴν τοῦ θεοῦ κατὰ τὸν νόμον, οὐδὲ εἰς τὴν γῆν ἐπιδημήσει τῆς ἀπαγγελίας, μὴ ἑορτάσας πρῶτον τὰς σκηνάς. οἱ γὰρ ἑορτάσαντας μόνοι τὴν σκηνοπηγίαν εἰς τὴν ἁγίαν καταίρουσαι γῆν, ἁπάραντες ἀπὸ τῶν καλουμένων σκηνῶν ἔστ’ ἂν εἰς τὸν νεὸν φθάσωσιν ἐλθεῖν καὶ τὴν πόλιν τοῦ θεοῦ, εἰς τὴν μείζονα καὶ ἐνδοξοτέραν προκόψαντες χαράν, καθὼς καὶ οἱ τύποι συνιστᾶσιν οἱ γεγονότες ἐπὶ Ἰουδαίων. ὥσπερ γὰρ ἐξελθόντες τῶν ὅρων ἐκείνων τῆς Αἰγύπτου ὥδευσαν πρῶτον καὶ ἦλθον εἰς τὰς σκηνὰς κἀκεῖθεν ἁπάραντες πάλιν ἦλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὕτω δὴ καὶ ἡμεῖς. ὁδεύσασα γὰρ ἐντεῦθεν καὶ ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου τούτου τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀνάστασιν, τὴν ἀληθινὴν σκηνοπηγίαν , κἀκεῖ τοῖς καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου κεκοσμημένην, τῇ πρώτῃ τῆς ἑορτῆς ἀναστάσεως ἡμέρᾳ τῇ κρίσει, συνεορτάζω τῷ Χριστῷ τὴν χιλιονταετηρίδα τῆς ἀναπαύσεως, τὰς ἑπτὰ καλουμένας ἡμέρας, τὰ σάββατα τὰ ἀληθινά. εἶτα αὐθις ἑπομένη τῷ διεληλυθότι τοὺς οὐρανοὺς« Ἰησοῦ ἔρχομαι πάλιν καθάπερ κἀκεῖνοι μετὰ τὴν ἀνάπαυσιν τῆς σκηνοπηγίας εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοὺς οὐρανούς, ἐν σκηναῖς μὴ ἀπομείνασα, τουτέστι τοῦ σκηνώματός μου μὴ ἀπομείναντος τοιούτου, ἀλλὰ μετὰ τὴν χιλιονταετηρίδα μεταβληθέντος ἀπὸ τοῦ σχήματος τοῦ ἀνθρωπίνου καὶ τῆς φθορᾶς εἰς ἀγγελικὸν μέγεθος καὶ κάλλος· ἔνθα λοιπὸν ἀπὸ τοῦ θαυμαστοῦ τῆς σκηνῆς, ὦ παρθένοι, τόπου μετὰ τὸ συμπερασθῆ- ναι τὴν ἑορτὴν τῆς ἀναστάσεως εἰς τὰ μείζω καὶ κρείττω διερχόμεθα,

εἰς τὸν οἶκον αὐτὸν ἀναβαίνουσαι τὸν ὑπὲρ τοὺς οὐρανούς »τοῦ θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχους ἑορτάζοντος«, καθώς φησιν ὁ ψαλμῳδός.

Τούτῳ κἀγώ, ὦ Ἀρετή, κατὰ τὴν ἐμαυτῆς, δέσποινα, δύναμιν δωροῦμαί σε τῷ πέπλῳ.

ΒΥΒΟΥΛ. Λίαν ἀγωνιῶ, ὦ Γρηγόριον, κατ’ ἐμαυτὴν ἐννοουμένη ἐν ὁποίῳ θορύβῳ νῦν ἄρα ἡ Δομνίνα ἦν, ταρασσομένης αὐτῇ τῆς καρδίας καὶ φοβουμένης μὴ ἀπορήσῃ λόγων καὶ ἐνδεέστερόν τι τῶν ἄλλων παρθένων ἀποφθέγξηται, τοσούτων ἤδη ῥηθέντων εἰς τὸ προκείμενον καὶ ποικίλων. εἰ οὖν εὔδηλος ἐγένετο κεκινημένη, φέρε καὶ τοῦτο περαίωσον· θαυμάζω γὰρ εἴ τι ἔσχεν εἰπεῖν τελευταῖα κεκληρωμένη.

ΓΡΗΓΟΡ. Τεταράχθαι μὲν αὐτήν, ὠ Εὐβούλιον, καὶ σφόδρα, ἔφη μοι ἡ Θεοπάτρα, οὐ μὴν ἠπορηκέναι λόγων. μετὰ <δὲ> τὸ τὴν Τυᾶιανὴν ἡ Ἀρετὴ τὸν ὀφθαλμὸν εἰς αὐτὴν ἐπιβαλοῦσα , Δεῦρο δὴ καὶ σὺ θύγατερ, ἔφη, τὸν λόγον ἀπόδος, ἵνα πληρώσωμεν ἐντελῆ την ευωχιαν.

Book 10: Λόγος ί. Δομνίνα

Τὴν οὖν Δομνίναν ἐρυθριάσασαν ἐπιπολὺ μόλις ἀναπνεῦσαι καὶ εἰς εὐχὴν ἐξαναστᾶσαν τραπῆναι καὶ καλεῖν τὴν σοφίαν παραστῆναί οἱ βοηθόν. εὐξαμένῃ δὲ αὐτῇ θάρσος, φησίν, εὐθέως ἐγγίγνεται, γνεται, καί τις αὐτὴν θεία ἀνακωχὴ κατέλαβε, καὶ ἴφη , Ὦ Ἀρετή, κἀγὼ παραλείψασα τὰς μακρολογίας τῶν προεξηγημάτων εἰς αὐτὰ τὰ προκείμενα κατὰ δύναμιν εἰπεῖν πειράσομαι, ἵνα δὴ μὴ τῷ μηκύ- νεσθαι τὰ πάρεργα πλείονα χρόνον ὧν ἕνεκα λέγονται παράσχω· ἡγοῦμαι γὰρ μέγιστον μέρος φρονήσεως εἶναι τὸ μὴ μακροὺς ἐκ πε - ριόδων πρὸ τῶν ἀπερωτηθέντων ποιεῖσθαι τοὺς λόγους κηλοῦντας τὰ ὦτα, ἀλλ’ αὐτόθεν εὐθέως περὶ ὅτου τὸ ἐπερώτημά ἐστιν ἄρχεσθαι. διὸ ἐνθένδε κἀγὼ κατάρξομαι· καιρὸς γάρ.

Οὐδὲν οὕτως ὀνῆσαι δυνήσεται πρὸς τὸ καλὸν τὸν ἄνθρωπον, ὠ καλλιπάρθενοι, ὡς ἁγνεία· τὸ γὰρ κάλλιστα καὶ ἄριστα διακυβερνηθῆναι τὴν ψυχὴν καὶ κηλίδων καὶ μιασμάτων καθαρὰν ἀπολουθῆναι τοῦ κόσμου, μόνη ποιεῖ τοῦτο καὶ ἐργάζεται ἁγνεία. ἀφ’ οὐ γὰρ ὁ Χριστὸς ἐδίδασκεν αὐτὴν ἀσκεῖν ἡμᾶς καὶ ἐμήνυσεν ἡμῖν τὸ ἀνυπέρβλητον κάλλος αὐτῆς, ἡ βασιλεία τοῦ πονηροῦ καθῃρέθη, πρότερον ἀεὶ πάντας αἰχμαλωτίζοντος καὶ δουλουμένου, ὡς μὴ τῶν παλαιοτέρων εὐάρεστον γεγονέναι κυρίῳ τινά, ἀλλὰ πάντας ἐπικρατηθῆναι πταίσμασιν, οὐ σφόδρα τοῦ νόμου τῆς φθορᾶς ἀρκέσαντος ἐλευθερῶσαι τὴν ἀνθρωπότητα, μέχρις ἡ παρθενία διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς τῶν ἀνθρώπων ἐβασίλευσεν. οὐ γὰρ ἂν οὕτως οἱ πρόσθεν εἰς μάχας καὶ φόνους καὶ ἔρωτας καὶ εἰδωλολατρείας συνελαύνοντο πολλάκις, εἰ ἦν αὐτοῖς ἡ ἐκ τῶν νόμων αὐτάρκης πρὸς σωτηρίαν δικαιοσύνη. νυνὶ δὲ τότε μὲν μεγάλαις καὶ πολλαῖς πολλάκις ἐνεφύροντο συμφοραῖς· ἀφ’ οὗ δὲ Χριστὸς ἐνηνθρώπησς καὶ παρθενίᾳ τὴν σάρκα κοσμήσας ὥπλισεν, ὁ ἀμοτύραννος ἄρχων τῆς ἀκρασίας ᾑρέθη καὶ εἰρήνη καὶ πίστις κροτεῖ, οὐκέτι τῶν ἀνθρώπων ὡσαύτως τρεπομένων εἰς εἰδωλολατρείαν ὥσπερ καὶ πάλαι.

Ἀλλ’ ἵνα μὴ δόξω τισὶ σοφίζεσθαι καὶ ἀπὸ τῶν εἰκότων τεκμαίρεσθαι ταῦτα καὶ φληναφᾶν, ἐκ τῆς παλαιᾶς ὑμῖν, ὠ παρθένοι, κἀγὼ παρέζομαι διαθήκης ἔγγραφον προφητείαν, ὡς ἀληθῆ λέγω, τοὺς Κριτάς, ἔνθα φανερῶς ἡ βασιλεία τῆς ἁγνείας ἤδη προκατήγγελτο. φησὶ γάρ πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρίσαι ἐφ

ἑαυτῶν βασιλέα, καὶ εἶπαν τῇ ἐλαίᾳ· βασίλευσον ἐφ’ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν φύλων; καὶ εἶπαν τὰ ξύλα πάντα τῇ συκῇ· δεῦρο βασίλευσον ἐφ’ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ ἀμπέλῳ· βασίλευσον ἐφ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα τὸν οἶνόν μου, τὴν εὐφρο- σύνην τῶν ἀυθρώπων, πορευθῶ ἄρχεῖν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα πρὸς τὴν ῥάμνον· δεῦρο βασίλευσον ἐφ’ ἡμᾶς. καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀλησίᾳ χρίετέ με ὑμεῖς εἰς βασιλέα βασιλέἀ ὑμᾶς, δεῦτε πεποίθατε ἐν τῇ σκέπῃ μου· εἰ μή, ἐξέλθῃ πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγῃ τὰς κέδρους τοῦ Λιβάνου.« ταῦτα δὲ ὅτι μὴ περὶ ξύλων τῶν ἐκ τῆς φυομένων ἐλέχθη, σαφές· οὐ οὐ ἄν ἑαυτοῖς τὰ δένδρα τὰ ἄψυχα χειροτονήσοντα βασιλέα συνήρχοντο, ταῖς ῥίζαις εἰς τὴν γῆν κατεστηλωμένα. ἀλλὰ πάντως περὶ ψυχῶν ἱστορεῖται ταῦτα, αἵ, πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καθυλομανήσασαι τοῖς παραπτώμασιν, , προσίασιν, οἶκτον αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν θεὸν καὶ βασιλεῦσαι τὸν ἔλεον ἐπ’ αὐτὰς ἤδη καὶ τὴν εὐσπλαγχνίαν, ἣν ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφὴ διὰ τὸ ἀρωγὰν τὸ ἔλαιον σωμάτων εἶναι καὶ λυτήριον καμάτων καὶ πόνων, φωτός τε παρεκτικόν. ἐλαίῳ γὰρ καταρδόμενον πᾶν τὸ λυχνιαῖον αὔξεται σέλας· λυτήριοι δὲ καὶ οἱ τοῦ θεοῦ πάντως οἰκτιρμοὶ θανάτου καὶ ἁμαρτημάτων καὶ ἀρωγοὶ τῆς ἀνθρωπότητος καὶ τοῦ τῆς καρδίας φωτὸς θρεπτικοί. καὶ ἐπισκέψασθε μήποτε τὰς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι τοῦ Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας δηλοῖ, ὧν ὁ διάβολος ἀντιμίμοις ἐξηπάτησε πλάσμασι τὸ τῶν ἀνθρώπων γένος· τὴν μὲν οὖν συκῆν ἀπεικάζουσα τῇ κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ ἐντολῇ, ἐπειδὴ τὴν γύμνωσιν ἀπατηθεὶς οὗτος πετάλοις ἐπεκάλυψε συκῆς, τὴν δὲ ἄμπελον τῇ ἐπὶ τοῦ κατακλυσμοῦ τῷ Νῶε διὰ τὸ οἴνῳ κοιμηθέντα χλευασθῆναι, τὴν δὲ ἐλαίαν τῇ κατὰ τὴν ἔρημον τῷ Μωσεῖ, ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλειον τὸ ἅγιον, ἀνομησάντων αὐτῶν ἐκλελοίπει τῆς κληρονομίας, τὴν δὲ ῥάμνον τῇ ἐπὶ τῇ σωτηρίᾳ τοῦ κόσμου τοῖς ἀποστόλοις, ἐπειδήπερ δἰ αὐτῶν ἐδιδάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴδωλον οὐκ ἴσχυσεν ὁ διάβολος σκευάσαι. καὶ διὰ τοῦτο καὶ εάαγγέλια τέσσαρα παραδέδοται, τετρά- κις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα καὶ παιδαγωγήσαντος τέσσαρσι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται διὰ] τῶν καρπᾶν. ἡ μὶν γὰρ συκῆ συκῆ τὴν γλυκασίαν γαὶ τὸν ὡραϊσμὰν τὴν τρυφὴν τὴν πρὸ τῆς παραβάσεως ἐν παραδείσῳ τοῦ ἀνθρώπου παρίστησι γεγενημένην· ἔστι γὰρ ὅτε δὴ καὶ σφόδρα πολλαχῶς τῆς συκῆς τὸν καρπὸν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τοῦ κρείττονος λαμβάνει, καθὼς ἀποδείξομεν ὕστερον. ἡ δὲ ἄμπελος, διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου καὶ τὴν εὐφροσύνην τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου καὶ τῆς φροντίδος τὴν] εἰς τὴν χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ δὲ ἐλαία διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος τοῦ θεοῦ μετὰ τὸν κατακλυσμόν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δοῦναι νόμον καὶ ἐμφανισθῆναί τισιν καὶ ὥσπερ ἀποσβεννυμένην ἤδη τὴν αὐγὴν τῆς ἀρετῆς ἐλαίω λιπᾶναι.

Ἡ δὲ ῥάμνος τὴν ἁγνείαν συνίστησι· τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἅγιος ἐστίν, ὑφ᾽ ὧν μὲν ῥάμνος καλούμενον, ὑφ᾽ ὧν δὲ ἄγνος. καὶ τάχα διὰ τὸ συγγενὲς τὸ φυτὸν τοῦτο τῇ παρθενίᾳ πεφυκέναι, ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη, ῥάμνος μὲν παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς, ἄγνος δὲ παρὰ τὸ διὰ παντὸς ἁγνεύειν. ὅθεν καὶ τὸν Ἠλίαν, ἐκ προσώπου τῆς Ἰεζάβελ γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν πρῶτον, καὶ εἰσακουσθέντα ἐνισχῦσαι καὶ λαβεῖν τροφήν, ὅτι τῶν φευγόντων τὸν οἶστρον καὶ τὴν γυναῖκα τὴν ἡδονὴν τὸ καταγώγιον καὶ ἡ σκέπη τὸ τῆς ἀμνείας ἐβλάστησε ξύλον, ἀπὸ τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χριστοῦ βασιλεῦσαν τῶν ἀνθρώπων. τῶν γὰρ πρώτων ἀδυνατησάντων σῶσαι νουθετημάτων τὸν ἄνθρωπον, τῶν ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Νῶε καὶ τῶν ἐπὶ τοῦ Μωσέως, ἡ κατὰ τὸ εὐαγγέλιον ἔσωσε μόνη νομοθεσία πάντας. — ἡ γὰρ συκῆ ταύτῃ λέγεται μὴ βασιλεῦσαι — τῶν ξύλων τῶν ἀνθρώπων νοουμένων, συκῆς δὲ τῆς ἐντολῆς — , ἀνθ᾽ ὧν ὁ ἄνθρωπος μετὰ τὸ πεσεῖν ἤθελε πάλιν ὑπὸ τῆς ἀρετῆς βασιλεύεσθαι καὶ τῆς ἀφθαρσίας τοῦ παραδείσου τῆς τρυφῆς μὴ ἀποβληθῆναι, ἀλλ᾽ ἀπεκρούσθη παραβὰς καὶ ἀπεβλήθη μακρόν, ὡς μὴ δυνάμενος ὑπὸ τῆς ἀφθαρσίας ἔτι μηδὲ χωρῶν βασιλεύεσθαι. καὶ πρῶτον αὐτῷ τὸ κήρυγμα μετὰ τὴν παράβασιν πέμπεται τὸ διὰ Νῶε, ἵν᾽ ἐὰν πρόσσχῃ κἂν σωθῆναι σωθῆναι τῆς ἁμαρτίας ἐσχύσῃ, ἀνάπαυσιν ἐπαγγελλόμενον τὴν ἀπὸ τῶν κακῶν καὶ εὐφροσύνην , εἰ ἀσκήσαιεν αὐτὸ κατὰ κράτος, ὥσπερ καὶ τὸν οἶνον ἡ ἄμπελος ἐπαγγέλλεται γεννᾶν τοῖς ἀσκοῦσιν αὐτὴν καὶ ἐργαζομένοις. ἀλλὰ καὶ τοῦτο οὐΚ ἐβασίλευσε τὸ νομοθέτημα τῆς ἀνθρωπότητος, ὅτι μὴ ἐπείσθησαν αὐτῷ κηρυσσομένῳ σπουδαίως πρὸς τοῦ Νῶε. ἀλλὰ καὶ μετὰ τὸ συνίχεσθαι ἤδη καὶ πνίγεσθαι τοῖς ὕδασιν ἤρξαντο μετανοεῖν καὶ ἐπαγγέλλεσθαι παρέχειν ἑαυτοὺς πεισθησομένους ταῖς ἐντολαῖς. ὅθεν καὶ ὑπερηφανοῦνται βασιλεύεσθαι, τουτέστιν ὑπὸ τοῦ κηρύγματος ὑπερηφανοῦνται βοηθεῖσθαι τῆς ἐντολῆς, ἀνταποκρινομένου τοῦ πνεύ- ματος αὐτοῖς καὶ ὀνειίζοντος, οὅπερ κατέλειψαν οἷς ἐκέλευσεν ὁ θεὸς ἀνθρώποις, ὦ ἀτεράμονες, βοηθεῖν μὲν καὶ σῴζειν τούτους καὶ εὐφραί- νειν οἷον τὸν Νῶι καὶ τοὺς σὺν αὐτῷ· ἔλθω βοηθῆσαι τοῖς φρονήσεως ὑμῖν ἀκάρποις καἰ ξύλων ξηρῶν οὐδὲν ἀπεοικόσι, πρότερον μὴ πιστεύσασί μοι κηρύσσοντι φύξιν τῶν παρόντων;

Καὶ δὴ καὶ τούτων οὕτως ἀπαξιωθέντων τῆς θείας κηδεμονίας καὶ πάλιν τῆς ἀνθρωπότητος εἰς πλάνην κεχυμένης αὐθις ὁ θεὸς ἀπέστειλε βασιλεύσοντα νόμον καὶ ὑπομνήσοντα δικαιοσύνην ἐπὶ Μωσέως. οἱ δὲ μακρὰν καὶ τούτῳ χαίρειν φράσαντες εἰς εἰδωλολατρείαν μετέστησαν. ὅθεν ὁ θεὸς εἰς ἀλληλοφονίας καὶ δρασμοὺς καὶ αἰχμαλωσίας παρέδωκε καὶ τούτους ἀποδοξήσαντος αὐτοὺς σῴζειν τοῦ νόμου, οἳ μετὰ τὸ συνελαθῆναι τοῖς κακοῖς ποτνιώμενοι πάλιν ἀπηγγέλλοντο πειθαρχεῖν ταῖς ἐντολαῖς, μέχρις ὁ θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι, ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή· ἥτις καταναλώσασα τὰς ἡδονὰς καὶ ἀπειλήσασα λοιπόν, εἰ μὴ αὐτῇ πείθοιντο πάντες ἀνενδοιάστως καὶ ἐν ἀληθείᾳ προσέρχοιντο , πυρὶ καταδαπανῆσαι πάντας· οὐκέτι γὰρ μετὰ ταύτην ἔσεσθαι νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ

κρίσιν καὶ πῦρ. καὶ διὰ τοῦτο λοιπὸν ἀπεντεῦθεν δικαιοπραγεῖν ὁ ἄνθρωπος ἤρξατο καὶ πιστεύειν βεβαίως τῷ θεῷ καὶ ἀποσχίζεσθαι τοῦ διαβόλου. οὕτως ὠφελιμώτατον καὶ ἀρωγὸν κατεπέμφθη τοῖς ἀνθρώποις ἀγνεία· μόνης γὰρ αὐτῆς ἀντίμιμον οὐκ ἴσχυσεν ἐργάσασθαι πρὸς ἀπάτην ὁ διάβολος, ὥσπερ καὶ τῶν ἄλλων νομοθετημάτων.

Τῆς γὰρ συκῆς, διὰ ἔφην, διὰ τὴν γλυκασίαν τοῦ καρποῦ καὶ τὸν ὡραϊσμὸν ἐν τύπῳ τῆς ἐν παραδείσῳ τρυφῆς παραληφθείσης, τοῖς ἀντιμίμοις αὐτῆς ἀποβουκολήσας τὸν ἄνθρωπον ὁ διάβολος ἠγρευσε, τὴν γύμνωσιν καλύψαι πείσας τοῦ σώματος πετάλοις συκῆς, ὅ ἐστι διὰ τὸ κνησμῶδες τρυφῇ φιληδόνῳ τοὺς δὲ περισωθέντας αὖθις ἐκ τοῦ κατακλυσμοῦ διὰ τὴν τῆς πνευματικῆς εὐφροσύνης ἄμπελον ἀντιμίμῳ πόματι μεθύσας κατεχλεύασε πάλιν ἀπογυμνώσας τὸν ἄνθρωπον ἀρετῆς. ἔσται δὲ σαφέστερον μᾶλλον ἐντεῦθεν ὅ λέγω. ἡ ἀντικειμένη· δύναμις ἀεὶ μιμεῖται τῆς ἀρετῆς καὶ τῆς δι καιοσύνης τὰ σχήματα, οὐ πρὸς ἄσκησιν κατὰ ἀλήθειαν, ἀλλὰ πρὸς ἀπάτην καὶ ὑπόκρισιν. ἵνα γὰρ δελεάσῃ πρὸς θάνατον τοὺς φεύγοντας τὸν θάνατον, ἀθανασίας ἔξωθεν καλλωπίζεται σχηματισμοῖς, καὶ ταύτῃ συκῆ βούλεται νομίζεσθαι καὶ ἄμπελος, καὶ γλυκύτητα καὶ εὐφροσύνην γεννᾶν, »εἰς ἄγγελον« μετασχηματιζομένη »φωτὸς« καὶ προσχήματι θεοσεβείας δελεάζουσα πολλούς. δύο γὰρ εἶναι διαφθορὰς συκέων καὶ ἀμπέλων εὑρίσκομεν ἐν ταῖς γραφαῖς, σῦκα τὰ χρηστά, »χρηστὰ λίαν, καὶ σῦκα τὰ πικρά, πικρὰ λίαν‘, »οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπων«, καὶ »οἶνον θυμὸν δρακόντων καὶ θυμὸν ἀσπίδων ἀνίατον«. ἀλλ’ ἀφ’ οὗ λοιπὸν ἐβασίλευσεν <ἡ> ἀγνεία ἀνθρώπων, ἠλέγχθη ἡ πλάνη καὶ νενίκηται, τοῦ ἀρχιπαρθένου Χριστοῦ καταστρέψαντος αὐτήν, καὶ ἡ ἀληθινὴ δὲ ἐλαία καὶ] ἡ ἀληθινὴ συκῆ καὶ ἡ ἀληθινὴ ἄμπελος καρποφοροῦσι μετὰ τὸ κρατῆσαι πάντων ἁγνείαν, καθάπερ καὶ Ἰωὴλ ὁ προφήτης εὐαγγελίζεται, θάρσει, γῆ«. λέγων »καὶ χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι. θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν οὐτοῦ· ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὰ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ κυρίῳ θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν βρῶσιν εἰς δικαιοσύνην«, ἄμπελον καὶ συκῆν δένδρα καρποὺς εἰς δικαιοσύνην βλαστήσαντα τοῖς τέκνοις τῆς νοητῆς Σιὼν τὰς ἔμπροσθεν νομοθεσίας καλῶν, ἅ μετὰ τὴν ἐνανθρώπησιν ἐκαρποφόρησαν τοῦ λόγου ὁπότε ἐβασίλευσεν ἡμῶν ἡ ἁγνεία, πρόσθεν ἀποκρατήσαντα καὶ ἀπομύσανα τὰς βλαστὰς διὰ τὴν ἁμαρτίαν καὶ τὴν πολλὴν πλάνην. οὐδὲ γὰρ ἠδύνατο τὴν εἰς ζωὴν ἀναδιδομένην ἡμῖν παρασχεῖν τροφὴν ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ἡ συκῆ ἡ ἀληθινή, ἔτι τῆς συκῆς τῆς μὴ ἀληθινῆς καὶ πρὸς ἀπάτην πεποικιλμένης ἀνθούσης. ἀλλ’ ὅτε κατεξήρανεν ὁ κύριος τὰ νόθα καὶ ἀντίμιμα τῶν ἀληθινῶν, ἀποφηνάμενος τῇ κικροφόρῳ συκῇ, τό μηκέτι γένηται καρπὸς ἐκ σοῦ εἰς τὸν αἰῶνα«, τότε τὰ ὄντως ἀνέθαλε καρποφόρα καὶ ἐβλάστησε »βρῶσιν εἰς δικαιοσύνην«. ἔστι δὲ καὶ ὅτε εἰς αὐτὸν ἀναφέρεται τὸν κύριον ἡ ἄμπελος πολλαχῶς, εἰς δὲ τὸ πνεῦμα τὸ ἅγιον ἡ συκῆ, ὡς τοῦ μὲν κυρίου τὰς καρδίας ἱλαρύνοντος τῶν ἀνθρώπων, τοῦ δὲ πνεύματος ἰωμένου. καὶ διὰ τοῦτο προστάσσεται πρῶτον Ἐζεκίας παλάθῃ

καταπλασθῆναι σύκων, ὅ δὴ ἐστι τῷ καρπῷ τοῦ πνεύματος, ἵνα θεραπαθῇ οἱονεὶ κατὰ τὸν ἀπόστολον τῇ ἀγάπῃ. »ὁ« γάρ καρπός. φησί »τοῦ πνεύματος ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, πίστις, πραότης, ἀγκράτεια«, ὅν διὰ τὴν πολλὴν γλυκύτητα σῦκα ὁ προφήτης ἐκάλεσε. καὶ ὁ Μιχαίας δέ καὶ ἀναπαύσεται ἕκαστος« φησίν »ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ἕκαστος ὑποκάτω τῆς συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν«. δῆλον γὰρ ὅτι οἱ ὑπὸ τὴν τοῦ πνεύματος προσφυγόντες καὶ ἐπαναπαυσάμενοι καὶ τὴν τοῦ λόγου σκέπην οὐ δειλιάσουσιν οὐδὲ πτυρήσονται τὸν ταράσσοντα τὰς καρδίας.

Ὅτι δὲ καὶ ἡ ἐλαία τὴν ἐπὶ Μωσέως αἰνίσσεται νομοθεσίαν ὁ Ζαχαρίας παρίστησιν οὕτω λέγων· »καὶ ἀπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἐξήγειρέ με ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ, καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπα· ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων«. καὶ μετ' ἀλίγα· »καὶ τίνες εἰσίν« ἐρομένου αἱ ἀλαῖαι« τοῦ προφήτου »αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ αἱ ἐξ εὐωνύμων' καὶ οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων;' ἀπεκρίθη καὶ εἶπεν ὁ ἄγγελος »οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς«, τὰς δύο λέγων ἀρχεγόνους δυνάμεις εἶναι τὰς δορυφορούσας τὸν θεόν, αἳ ἐν τῷ οἴκῳ περὶ τὸ σχοίνισμα διὰ τῶν κλάδων ἐπιχορηγοῦσαι τὸ πνευματικὸν ἔλαιον τοῦ θεοῦ, ἵνα φῶς ἔχῃ θείας γνώσεως. οἱ γὰρ δύο κλάδοι τῶν δύο ἐλαιῶν ὁ νόμος εἰσὶ καὶ οἱ προφῆται οἱ περὶ τὸ σχοίνισμα τῆς κληρονομίας ἀπικληθέντες, οὓς ἐβλάτησεν ὁ Χριστὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὔπω δυναμένων ἡμῶν χωρῆσαι τὸν καρπὸν ὅλον καὶ τὸ μέγεθος τῶν φυτῶν τούτων, πρὶν ἄρξαι τοῦ κόσμου καὶ βασιλεῦσαι τὴν ἀγνείαν· ἀλλὰ τοὺς κλάδους αὐτῶν μόνους ·τὸν νόμον οἱονεὶ καὶ τὴν προφητείαν πρόσθεν ἐγεωργήσαμεν, καὶ ταῦτα μετρίως, πολλάκις διολισθήσαντες. τίς γὰρ Χριστὸν ἢ τὸ πνεῦμα τέλειον ἴσχυσε χωρῆσαί ποτε, μὴ καθαρεύσς πρῶτον; ἡ γὰρ πρὸς εὐδοξίαν ἐπιθυμητήν τε καὶ ἐραστὴν ἐκ παίδων ἐργαζομένη τὴν ψυχὴν ἄσκησις, καὶ τὸν κόσμον αὐτῇ τοῦτον μετὰ ῥᾳστώνης ἀβασάνιστον ἐκεῖ διακομίζουσα, καὶ μικρῶν αἱρουμένη πόνων μεγάλας ἀλπίδας, ἐστὶν ἡ ἀθανατοπιὸς τῶν σωμάτων ἡμῶν I ἁγνεία, ἣν δεῖ πάντας ἀσμένως ἀνθρώπους προτιμᾶν καὶ αἰνεῖν, τοὺς μὲν ὅτι δἰ αὐτὴν ἀνυμφαγωγήθησαν τῷ λόγῳ παρθενίαν ἀσκήσαντες, τοὺς δὲ ὅτι πρὸς αὐτῆς ἠλευθερώθησαν τῆς »γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ« κατακρίσεως.

Οὗτος, ὦ Ἀρετή καὶ ὁ παρ' ἐμοῦ σοι, καθ' ὅσον ἐγὼ δύναμαι, λόγος ὑπὲρ ἁγνείας, ὃν ἀξιῶ, κἂν μέτριος ᾖ, δέσποινα, καὶ ὀλίγος, προθυμότατά σε δέξασθαι παρ' ἐμοῦ τελευταίαν εἰπεῖν ἠρημένην.

Book 11: Ἀρετῆς λόγος. XI

Ἀλλὰ δέχομαι, τὴν Ἀρετὴν ἡ Θεοπάτρα ἔφη φάναι, καὶ πάσας ἐπαινῶ· κράτιστα γὰρ δή, κἂν οὕτω μὴ φανερῶς, ἀλλὰ μετὰ σπουδῆς τὰ λεχθέντα δεχομένη διεξελήλυθας, οὐ γλυκυμυθίαν πρὸς τέρψιν ·τῶν ἀκουόντων συσκευασαμένη , ἀλλὰ πρὸς ἐπανόρθωσιν ὑπόμνημα καὶ νῆψιν. προτάττειν γὰρ τῶν ἐμῶν ἐπιτηδευμάτων ἀγνείαν ὁ λέγων δεῖν καὶ ἀσπάζεσθαι πρώτην τῶν ἄλλων ὀρθῶς παρακελεύεται· ἣν τιμᾶν μὲν νομίζουσι καὶ θεραπεύειν πολλοί, τιμῶσι δ’ αὐτὴν ὡς ἔπος εἰπεῖν ὀλίγοι. οὐ γὰρ ὁπόταν τὴν ἑαυτοῦ σάρκα τῆς κατὰ συνουσίαν ἄγευστον ἡδονῆς φιλοτιμῆται τηρεῖν ἄνθρωπος, τῶν ἄλλων μὴ κρατῶν, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν μᾶλλον οὐχ ἥκιστα βαναύσοις ἐπιθυμίαις, ἡδονὰς ἀντικαταλλασσόμενος ἡδοναῖς. οὐδέ γε ὁπόταν πρὸς τὰς ἔξω μὲν ἐπιθυμίας διαπονῇ καρτερῶν, ὑπεραίρηται δὲ φυσιούμενος, αὐτῷ δὴ τούτῳ τῷ δύνασθαι τῶν τῆς σαρκὸς ὑπεκκαυμάτων κρατεῖν, καὶ πάντας ὡς οὐδὲν ἐξουδενῶν ἡγῆται, ἁγνείαν τιμᾷ · ἀτιμάζει γὰρ αὐτὴν ὑβρίζων ὑψηλοφροσύνῃ, τῷ τὸ μὲν ἔξωθεν τοῦ πίνακος καθαίρειν καὶ τῆς παροψίδος, τὴν σάρκα, τὸ σῶμαι τὴν Τε καρδίαν τύφῳ σίνεσθαι καὶ φιλοδρατίᾳ. οὐδέ γε ὁπότε ἀναβρύνεταί τις χρήμασι, τιμᾶν αὐτὴν σπουδάζει· ἀτιμάζει μὲν οὐν παντὸς μᾶλλον δὲ καὶ οὑτος, προκρίνων αὐτῆς ὀλίγον κέρδος, ἡς οὐδὲν ἀντάξιον τῶν ἐν τῷ τιμίων· »πᾶς« γὰρ πλοῦτος πλοῦτος ἐνώπιον αὐτῆς καὶ »χρυσὸς« ὡς »ψάμος ἀλίγη«. οὐδέ γε ὁ ἑαυτὸν ὑπερφυῶς ὑγούμενος φιλεῖν καὶ τὸ ἑαυτῷ μόνῳ συμφέρον σπουδάζων σκοπεῖν, ἄφροντις δὲ τῶν πλησίων, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν καὶ οὗτος· πολὺ γὰρ λείπεται τῶν κατ’ ἀξίαν ὁμιλούντων αὐτῇ. τῷ τὴν ἀγάπην αὐτῆς καὶ τὸ συμπαθητικὸν καὶ τὸ φιλάνθρωπον λωβήσασθαι. οὐ γὰρ τῇδε μὲν ἁγνεύοντας παρθενεύειν δεῖ, τῇδε δὲ κακοπραγοῦντας χραίνεσθαι καὶ ἀκολασταίνειν , οὐδὲ τῇδε μὲν ἐπαγγέλλεσθαι καθαρεύειν καὶ σωφρονῖν, τῇδε δὲ μολύνεσθαι καὶ ἁμαρτάνειν, οὐδ’ αὖ τῇ μὲν ὁμολογεῖν μὴ πεφροντικέναι τῶν κοσμικῶν , τῇ δὲ κτᾶσθαι καὶ ἐν αὐτοῖς ἐξετέζεσθαι., ἀλλὰ πάντα τὰ μέλη φθορᾶς ἀκοινώνητα καὶ ἁμιγῆ τηρεῖν, οὐ μόνον τὰ κνησμώδη καὶ συνουσιαστικά, ἀλλ’ ἤδη καὶ τὰ τούτων ἐνεργέστερα. χλεύη γὰρ τὰ μὲν τῆς παιδοποιήσεως ὄργανα τηρεῖν παρθένα, τὴν δὲ γλῶτταν μὴ τηρεῖν, ἢ τὴν γλῶσσαν μὲν τηρεῖν παρθένον, τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας μὴ τηρεῖν, ἢ ταῦτα μὲν ἔχειν κοὶ τηρεῖν παρθένα, τὴν καρδίαν δὲ μὴ τηρεῖν , ἀλλ’ ἑταιρίζεσθαι τύφῳ καὶ θυμῷ. δεῖ γὰρ πάντως τὸν μέλλοντα μὴ ἁμαρτήσεσθαι

περὶ τὴν ἄσκησιν τῆς ἁγνείας τὰ μέλη πάντα καὶ τὰ αἰσθητήρια τηρεῖν ἑαυτοῦ καθαρὰ καὶ συνεσφιγμένα καθάπερ δὴ καὶ πλοίων ὦν] οἱ κυβερνῆται τὰς ἁρμογὰς σφίγγουσι, πρὸς τὸ μὴ σχεῖν ἔσω δίοδον τὴν ἁμαρτίαν ἐπεισχεομένην. τοῖς γὰρ μεγάλοις ἐξ ἀνάγκης ἐπιτηδεύμασι μεγάλα καὶ τὰ πταίσματα συμβαίνει, καὶ τῷ ὄντι τῷ ἀγαθῷ μᾶλλον ἐναντιώτερον τὸ κακὸν ἢ τῷ μὴ ἀγαθῷ. πολλοὶ οὖν δοξάζοντες τὸ περὶ τὰς οἰστρώδεις μᾶλλον καρτερεῖν ἐπιθυμίας εἶναι τὴν ἁγνείαν, τῶν ἄλλων ἀμελήσαντες αὐτῆς ἔπταισαν καὶ τοῖς ὀρθῶς πρὸς αὐτὴν ὡρμημένοις προσῆψαν φόγους, οὕς ὑμεῖς ἀλέγξατε, νόμος διὰ πάντων, αὐταὶ γὰρ] παρθενεύσασαι καὶ ἔργῳ καὶ λόγῳ. καὶ τὰ μὲν δὴ τῆς παρθένου, ποταπὴν εἶναι προσῆκε, διεγράφη· ὑμᾶς δὲ διαρκῶς ἀγωνισαμένας τῷ λόγῳ αὐτήκοος γενομένη πάσας αποφαίνομαι νικᾶν καὶ στέφω, Θέκλαν Ι δὲ τῷ μείζονι στεφάνῳ καὶ δασυτέρῳ ὡς πρώτην ὑμῶν καὶ μεγαλοπρεπέστερον ἐκλάμψασαν.

Ταῦτα οὖν εἰποῦσαν ἔφη κελεῦσαι πάσας ἀναστῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα, καὶ στάσας ὑπὸ τὴν ἄγνον εὐχαριστήριον πρεπόντως ὕμνον ἀναπέμψαι τῷ κυρίῳ , ἐξάρχειν δὲ τὴν Θέκλαν καὶ προϋφηγεῖσθαι. ὡς οὖν ἀνέστησαν, τὴν Θέκλαν μέσην μὲν τῶν παρθένων ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς στᾶσαν κοσμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν κύκλῳ καθάπερ ἐν χοροῦ σχῆματι συστάσας ὑπακούειν αὐτῇ.

Ὑπακοή.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.

Ψαλμός.

Ἄνωθεν, παρθένοι, βοῆς
ἀγερσίνεκρος ἀχος ἠλθε νυμφίῳ λέγων
πασσυδὶ ὑπαντάνειν λευκαῖσιν ἐν στολαῖς καὶ λαμπάσι πρὸς ἀντολάς· ἔγρεσθε πρὶν φθάσῃ μολεῖν εἴσω θυρῶν ἄναξ.

<Ὑπ.> ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.

<Ψ.> Βροτῶν παλυστένακτον ὄλβον ἐκφυγοῦσα βίου τρυφῆς ἀδονὰς ἔρωτα, σαῖς ὑπ’ ἀγκάλαις ζωηφόροις ποθῶ σκέπεσθαι καὶ βλέπειν τὸ σὸν κάλλος διηνεκῶς, μάκαρ.

<Ὑπ.> ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.

<Ψ.> Γάμων λιποῦσα θνητὰ λέκτρα καὶ . . ἄναξ, διὰ σὲ πολύχρυσον, ἠλθον ἀσπίλοις ἐν εἵμασιν, ὅπως φθάσω κἀγὼ πανολβίων θαλάμων εἴσω σὺν σοὶ μολεῖν.

<Ὑπ.> ἁγνεύω σοι καὶ φαεσφόρους φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.

<Ψ.> Δόλους δράκοντος <ἠλθον> ἐκψυγοῦσα μυρίους, μάκαρ, θελδτηρίους· ἔτλην δὲ καὶ πυρὸς φλόγα καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους, σὲ προσμένουσ’ ἀπ’ οὐρανῶν.

<Ὑπ.> ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.

<Ψ.> Ἐλαθόμην πάτρας, ποθοῦσα σὴν χάριν, ἐλαθόμην <καὶ> παρθένων ὁμηλίκων χορούς, μητρός τε καὶ γένους φρύαγμα· πάντα γὰρ σύ μοι αὐτὸς σύ, Χριστέ, τυγχάνεις.

<Ὑπ.> ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.

<Ψ.> > Ζωῆς Χριστέ, τυγχάνεις,] χαῖρε φῶς ταύτην δέδεξο τὴν βοήν· χορός σε

παρθένων προσεννέπει, τέλειον ἄνθος, ἀγάπη, χαρά, φρόνησις, σοφία, λόγε.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ἠνοιγμέναις θύραις, ἄνασσα φαιδρόκοσμε, ἐδέξω θαλάμων εἴσω χ’ ἡμᾶς, ἀχραντόσωμε, Καλλίνικε νύμφα, καλλίπνου· ὁμόστολοι παρήμεθα Χριστῷ, πανόλβιον μέλπουσαι σὸν γάμον, θάλος.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Θρηνοῦσι νῦν βαρύστονοι κόραι πυλῶν νυμφῶνος ἔξω καὶ βοῶσι γοερῶς, ὅτι τὸ λαμπάδων ἀποοβέσασαι φῶς οὐκ ἔφθασαν χαρᾶς ταμεῖον εἰσιδεῖν.
<Ὑπ.> ἀγνεύω σοι καὶ φαεσφόρους φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ἰρᾶς ὁδοῦ γὰρ ἐκτραπεῖσαι πρὸς βίου κτήσασθ’ ἔλαιον ἠμέλησαν ἄθλιαι πλέον· νεκρὰς δὲ φλογεροῦ πυρὸς φέρουσαι λαμπάδας στένουσιν ἔνδον ἐκ φρενῶν.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Κροτῆρες ἀδυπληθέες πρόκεινται νέκταρος· πίνωμεν· οὐράνιόν ἐστι πόμα, παρθένοι, ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ’ ἀξίας εἰς τὸν γάμον κεκλημένοις.
<᾽Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Λαμπρῶς σου τὸν <φονὸν> Ἄβελ ἔλεξεν αὐματοσταγὴς βλέπων εἰς οὐρανόν. ἀνηλεῶς με συγγόνου τετρωμένον χειρὶ δέξαι, λιτάζομαι, λόγε.
<Ὑπ.> ἀγνεύω σοι καὶ φαεσξόρους φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Μέγιστον ἆθλον ὁ κάρτερος σου παῖς, λόγε, Ἰωσὴφ ἀνείλετο· γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα βιαίως εἶλκε φλογωμένη πόθοις, ὁ δ’ οὐδὲν ἐντραπεὶς ἔφευγε γυμνὸς ἐκβοῶν·
<᾽Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Νεοσφαγῆ ὁ Ἰεφθάε κόρην ἀνῆγε θυσίαν θεῷ, ἄπειρον ἄπειρον ἀμφὶ βωμὸν ἀμνάδος δίκην ἡ δ’ εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ, τελοῦσ’ ἔκραζε καρτερῶς·
<᾽Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντόνω σοι.
<Ψ.> Ξένων στρατηλάταν ὄχλων εὔτολμος εὐστόχοις Ἰουδὴθ δόλοις καρατόμησε, κάλλεος τύποις θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη, νικαφόροις δ’ ἔφη βοαῖς·
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς δύο Σουσάννας, ἐμμανεῖς ἔρωτι λέξαν· ὠ γύναι, κρυπτῶν [σου] γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα. ἡ δ’ ἐντρόμοις ἴφη βοαῖς·
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Πολλῷ με κατθανεῖν ἄμεινόν ἐστιν ἢ λέχη προδοῦσαν, ὠ γυναιμανεῖς, ὑμῖν αἰωνίαν δίκην ὑπ΄ ἐμπύροις θεοῦ τιμωρίαις παθεῖν· σῶσόν με, Χριστέ, τῶνδε νῦν.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόροις νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν ἤχθη δι’ ἁγνείαν, λύθρῳ δὲ φοινίῳ κόνιν δεύων ἔκραζέ σοι, μάκαρ·
<᾽Υπ> ἀγνεύω σοι καὶ φαεσφόρους φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω

σοι.
<Ψ.> Σοῦ καὶ ζωητόκος χάρις ἄθικτος,] ἄτεγκτος, ἀσπίλους τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύι, μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος· ἔλεξε δ’ ἔγκυος, μάκαρ·
<῾Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Τὴν σήν, μάκαρ, γαμήλιον ποθοῦντες ἀμέραν ἰδεῖν, ὅσους ἄνωθεν αὐτὸς ἀγγέλων ἄναξ κέκληκας, ἤκουσιν μέγιστα δῶρά σοι, λόγε, φέροντες ἀσπίλοις στολαῖς.
<῾Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ὑμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι αἱ σαὶ γεραίρομεν σὲ νῦν, ἄθικτα παρθένε, ἐκκλησία χιονόσωμε, κυανοβόστρυχε, σῶφρον, ἄμωμ´, ἀρασμία.
<῾Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Φθορὰ πέφευγε καὶ νόσων πόνοι δακρυσταγεῖς, θάνατος ᾐρέθη, ὅλωλε πᾶσα ἀφροσύνη, λύπη τέθνηκε τηξίφρων, ἔλαμψε δ’ ἡ τοῦ] θεοῦ Χριστοῦ] χαρὰ βροτοῖς ἄφνω πόλιν.
<῾Υπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Χῆρος ὁ] βροτῶν παράδεισός ἐστιν πάλιν γὰρ αὐτὸν ἐκ θείας ὥσπερ τὸ πρὶν ταγῆς οἰκεῖ τέχναις ὁ ποικίλαις δράκοντος ἐκπεσών, ἄφθαρτος ἄφοβος, μάκαρ.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ψάλλων τὸ καινὸν ᾆσμα νῦν χορός σε καθιστάνει πρὸς οὐρανούς, ἄνασσα, φῶς ὅλη, ἐστεμμένος λευκοῖς κρίνων κάλυξι καὶ φλόγας χερσὶ σελασφόρους φέρων.
<Ὑπ.> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους νυμφίε, ὑπαντάνω σοι.
<Ψ.> Ὢ τὰς ἀχράντους οὐρανοῦ, μάκαρ, ναίων ἄναρχε, πάντα συγκροτῶν αἰωνίῳ κράτει, δέξαι σὺν παιδὶ σῷ, πάρεσμεν, ἔνδον εἰς ζωῆς πύλας, πάτερ, καὶ ἠμέας.
<> ἀγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα, νυμφίε, ὑπαντάνω σοι.
ΕΥΒΟΥΛ. Ἀξίως ἀπηνέγκατο τὰ πρῶτα τῶν ἄθλων ἡ Θέκλα, ὠ Γρηγόριον.
ΓΡΗΓ. Ἀξίως μὲν οὖν.
ΕΥΒΟΥΛ. Τί δαί; ἡ Τελμησιακὴ ξένη, εἰπέ μοι, κἂν ἀξωθεν οὐκ ἐπηκροᾶτο; θαυμάζω γὰρ εἰ ἡσυχίαν εἶχεν ἐκείνη μαθοῦσα τὸ συσσίτιον τοῦτο , καὶ οὐκ εὐθέως ὥσπερ ὄρνεον ἐπὶ τροφὴν ἐφίπτατο τῶν λεγομένων ἀκουσομένη.
ΓΡΗΓ. Οὐ· λόγος γὰρ αὐτὴν Μεθοδίῳ συμπαραγεγονέναι αὐτὰ δὴ ταῦτα τὴν Ἀρετὴν πυνθανομένῳ. ἀλλὰ καλὸν καὶ μακάριον τοι. αύτῃ διδασκάλῳ χρήσασθαι καὶ ὁδηγῷ, τῇ Ἀρετῇ.
ΕΥΒΟΓΛ. Ἀτάρ, ὦ Γρηγόριον, ποτέρους ἀμείνους λέγομεν, τοὺς μὴ ἐπιθυμοῦντας μέν, κρατοῦντας δὲ τῆς ἐπιθυμίας, ἢ τοὺς ἐπιθυμοῦντας καὶ παρθενεύοντας;
ΓΡΗΙ. Τοὺς μὴ ἐπιθυμοῦντας καὶ παρθενεύοντας > ἐπειδὴ καὶ τὴν διάνοιαν οὗτοι καὶ τὴν αἴσθησιν ἀμόλυντον κέκτηνται καί εἰσιν ὁλοτελῶς ἀδιάφθοροι, κατὰ μηδὲν ἀξημαρτηκότες.
ΕΥΒΟΥΛ. Εὖγε νὴ τὴν σωφροσύνην, ὠ Γρηγόριον, καὶ συνετῶς. ἀτὰρ μή τι κωλύω, ἐὰν ἀντιλαμβάνωμαι τῶν λόγων, ἵνα ἐρρωμενέστερον μάθω καὶ σηθεὶς ἐξελέγξῃ με ἔτι;

ΓΡΗΓ. Ἀλλ’ ἀντιλαμβάνου, ὅπῃ καὶ θέλεις· ἐγὼ γὰρ ἱκανῶς, ὠ Εὐβούλιον, διδάξαι σε ἔχω, ὅτι τοῦ ἐπιθυμοῦντος ὁ μὴ ἐπιθυμῶν χρείσσων ἐστί, καὶ οὐδεὶς οὐ μή σε ἐλέγξῃ.

ΕΥΒΟΥΛ. Βαβαί· χαίρω τάρ, ὅτι μοι μεγαλοφρόνως ἀποκρίνῃ καὶ δεικνύεις ὅσον πεπλούτηκας ἐπὶ σοφίᾳ.

ΓΡΗΓ. Κωτίλος τις ὡς ἔοικεν ἄνθρωπος εἶναι δοκεῖς, ὠ Εὐβούλιον. ΕΥΒΟΥΛ. Τίνος δὴ χάριν;

ΓΡΗΓ. Ὅτι τωθαζομένη με ταῦτα λέγεις μᾶλλον ἢ ἀληθεύουσα.

ΕΥΒΟΓΛ. Εὐφήμησον, ὦ μακαρία· θαυμάζω γὰρ σφόδρα σου τὸ συνετὸν καὶ μεγαλόδοξον. ἐγὼ τοῦ το ἔφην, ὅτι περὶ ὧν πολλοὶ πρὸς ἑαυτοὺς πολλάκις ἀμφισβητοῦσι σοφοί, ταῦτα οὐ μόνον ἐπίστασθαι σὺ λέγεις, ἀλλὰ καὶ διδάσκειν ἑτέρους σεμνύνῃ.

ΓΡΗΓ. Σὺ γὰρ ἐξ ἀληθείας, εἰπέ μοι, δυσχεραίνεις, εἰ διαφέρουσιν ὅλως οἱ μὴ ἐπιθυμοῦντες τῶν ἐπιθυμούντων τε καὶ ἐγκρατευομένων; ἢ πάντως ἐμοῦ ταῦτα προσπαίζεις;

ΕΥΒΟΥΛ. Καὶ πῶς ἀποπειρωμένη, ἥ ὁμολογῶ μὴ εἰδέναι; ἀλλ’ ἴθι φράσον ἐμοί, ὠ σοφωτάτη, τίνι διαφέρουσιν οἱ μὴ ἀπιθυμοῦντες καὶ ἀγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ παρθενευόντων.

ΓΡΗΓ. Ὅτι πρῶτον μὲν καθαρὰν ἔχουσιν αὐτὴν τὴν ψυχὴν καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν αὐτῇ κατοικεῖ, μὴ περιελκομένης αὐτῆς καὶ ἐπιθολουμενης φαντασίαις καὶ λογισμοῖς ἀκρασίας, ὥστε καὶ διὰ τῆς ἐνθυμήσεως ἐπιλωβηθῆναί ποτε· ἀλλ’ εἰσὶν ἀνεπίδεκτοι πάντῃ καὶ κατὰ τὴν σάρκα καὶ κατὰ τὴν καρδίαν οὗτοι τῆς ἐπιθυμίας, γαλήνην ἄγοντες τῶν παθημάτων. οἱ δὲ διὰ τῆς οψεως ἔξωθεν δελεαζόμενοι ταῖς φαντασίαις καὶ ἐπεισρέουσαν δεχόμενοι τὴν ἐπιθυ- μίαν δίκην ῥεύματος εἰς τὴν καρδίαν οὐδὲν ἧσσον μολύνονται πολλάκις, κἂν νομίζωσιν ἀντιφιλονεικεῖν καὶ μάχεσθαι πρὸς τὰς ἡδονάς, ἡττώμενοι τὸν λογισμόν.

ΕΥΒΟΥΛ. Οὐκοῦν γαλήνην τοὺς ἄγοντας καὶ μὴ διοχλουμένους ὑπὸ τῆς ἐπιθυμίας λέξομεν καθαρούς;

ΓΡΗΓ. Καὶ σφόδρα. τούτους γὰρ τοιούτους ὁ καὶ θεοὺς διὰ τῶν μακαρισμῶν ἀπεργαζόμενος τοὺς ἀνενδοιάστως αὐτῷ πιστεύοντας θεὸς »ὄψεσθαι« μετὰ παρρησίας ἀποφθέγγεται τὸν θεόν‘, ὅτι μηδὲν ἐπισκοτοῦν ἢ συνταράσσον τὸν ὀφθαλμὸν τῆς Ψυχῆς πρὸς τὴν θείαν ἐπιφέρονται θεωρίαν, ἀλλ’ ἐκτὸς γεγονότες τῶν ὀρέξεων πάντῃ τῶν κοσμικῶν τὴν σάρκα καθαρὰν οὐ μόνον, ὡς ἔφην, μίξεως τηροῦσιν, ἀλλ’ ἤδη καὶ τὴν καρδίαν ἀνεπίδεκτον λογισμῶν ἀκρασίας, ἐν ᾗ μέλιστα καὶ τὸ ἅγιον ὡς ἐν ναῷ κατοικοῦν ἀναπαύεται πνεῦμα.

ΕΥΒΟΥΛ. Ἔχε δὴ οἶμαι γὰρ ἐπὶ τὴν εὕρεσιν τῶν ὄντως κρειττόνων ὀρθότερον ἡμᾶς ἐντεῦθεν διελθεῖν) καί μοι φράσον· καλεῖς τινα κυβερνήτην ἀγαθόν;

ΓΡΗΓ. Ἔγωγε.

ΕΥΒΟΥΛ. Πότερον τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις περισώσαντα ζάλαις τὸ σκάφος ἢ τὸν ἐν γαλήνῃ καὶ νηνεμέᾳ;

ΓΡΗΓ. Τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν τὴν περιαντλουμένην ταῖς τρικυ- μίαις τῶν

παθημάτων καὶ μὴ ἀποκάμνουσαν ἢ ἐκλυομένην, ἀλλὰ τὸ σκάφος, τὴν σάρκα, γενναίως εἰς λιμένα τὸν τῆς σωφροσύνης ἀπευθύνουσαν λέξομεν τῆς ἐν εὐδίᾳ πλοϊζομένης κρείττονα καὶ δοκιμωτεραν;
ΓΡΗΓ. Λέξομεν.
ΕΥΒΟΥΛ. Τὸ γὰρ ἁρμόζεσθαι πρὸς τὰς ἐμβολὰς τῶν καταφυσημάτων τοῦ πονηροῦ πνεύματος καὶ μὴ ἀπορρίπτεσθαι ἢ νικᾶσθαι, ἀλλὰ πάντα πρὸς Χριστὸν ἀνανεύοντα καρτερῶς μάχεσθαι ταῖς ἡδοναῖς μείζονα τὸν ἔπαινον φέρει τοῦ μετὰ ῥᾳστώνης ἀχειμαστὶ παρθενεύοντος.
ΓΡΗΓ. Ἐοικεν.
ΕΥΒΟΥΛ. Τί δαὶ καὶ ὁ κύριος; οὐ δοκεῖ δεικνύναι διαφέρειν τὸν ἐπιθυμοῦντα μᾶλλον καὶ ἐγκρατευόμενον τοῦ μὴ ἐπιθυμοῦντός τε καὶ παρθενεύοντος;
ΓΡΗΓ. Ποῦ δή;
ΕΥΒΟΓΛ. Ἐνθα τὸν φρόνιμον παραβάλλων οἰκίᾳ τεθεμελιωμένῃ καλῶς ἄπτωτον αὐτὸν ἀποφαίνεται, μὴ δυνάμενον ὑπὸ τῆς βροχῆς καὶ τῶν ποταμῶν καὶ τῶν ἀνέμων καταβληθῆναι, ταῖς μὲν ἐπιθυ- μίαις ὡς ἔοικέν ἀπεικάζων τοὺς χειμῶνας, τῇ δὲ πέτρᾳ τὴν ἀκίνητον ἔνστασιν καὶ ἀδιάπτωτον τῆς ψυχῆς περὶ τὴν ἁγνείαν.
ΓΡΗΓ. Ἀληθῆ λέγειν δόξαις.
ΕΥΒΟΥΛ. Τί δαὶ καὶ ἰατρόν; οὐ τὸν ἐπὶ μεγάλαις ἤδη δεδοκιμασμένον νόσοις καὶ πολλοὺς ἰασάμενον ἄριστον καλεῖς;
ΓΡΗΓ. Ἔγωγε.
ΕΥΒΟΥΛ. Τὸν δὲ μηδὲν μηδέπω διαπραξάμενον, μηδὲ νοσοῦντας ὅλως ἐν χερσὶν ἐσχηκότα οὐ πάντως ἀδοκιμώτερον ἔτι;
ΓΡΗΓ. Ναί.
ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ Ψυχὴν τὴν ἀνεχομένην ὑγροτέρου σώματος καὶ τὰς περὶ τὰς ἡδονὰς αὐτοῦ νόσους καταπραϋνουσαν σωφρο- σύνης φαρμάκοις ἰατρικωτέραν λεκτέον τῆς ὑγιεινὸν διοικεῖν κεκληρωμένης σῶμα καὶ ἀπαθές;
ΓΡΗΓ. Λεκτέον γάρ.
ΕΥΒΟΓΛ. Τί δαὶ καὶ ἐν πάλῃ; πότερον παλαιστὴς ἀμείνων ὁ ἀνταγωνιστὰς ἔχων μεγάλους καὶ ἰσχυρούς, καὶ προσπαλαίων ἀεὶ καὶ μὴ καθαιρούμενος, ἢ ὁ μὴ ἔχων ἀνταγωνιστάς;
ΓΡΗΓ. Δῆλον ὡς ὁ ἔχων.
ΕΥΒΟΥΛ. Καὶ ἐν πάλῃ ἄρα δοκιμώτερος ἀθλητὴς ὁ τοὺς ἀνταγωνιστας ἔχων;
ΓΡΗΓ. Ἀνάγκη.
ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν ἀνάγκη πᾶσα τὴν μηχανωμένην πρὸς τὰς ἐφόδους τῆς ἐπιθυμίας καὶ μὴ κατασπωμένην, ἀλλ’ ἀνθέλκουσαν καὶ ἀντιτασσομένην, ἰσχυροτέραν φαίνεσθαι τῆς μὴ ἐπιθυμούσης;
ΓΡΗΓ. Ἀληθῆ.
ΕΓΒΟΥΛ. Τί δαὶ τὸ καρτερῶς ἔχειν πρὸς τὰς ὁρμάς, Γρηγόριον, τῶν φαύλων ὀρέξεων; δοκεῖ σοι μᾶλλον ἀνδρείας εἶναι;
ΓΡΗΓ. Καὶ σφόδρα.
ΕΥΒΟΥΛ. Ἡ δὲ ἀνδρεία αὕτη δύναμις ἀρετῆς;
ΓΡΗΓ. Δῆλον.

ΕΥΒΟΥΛ. Οὐκοῦν εἰ δύναμις ἀρετῆς ἐστιν ἡ ὑπομονή, ἡ διοχλουμένη ἄρα ψυχὴ καὶ καρτεροῦσα πρὸς τὰς ἐπιθυμίας δυνατωτέρα φαίνεται τῆς μὴ ὀχλουμένης;
ΓΡΗΓ. Ναί.
ΕΥΒΟΥΛ. Εἰ δὲ δυνατωτέρα, καὶ κρείσσων;
ΓΡΗΓ. Ναί.
ΕΥΒΟΥΛ. Κρείσσων ἄρα ἡ ἐπιθυμοῦσα καὶ ἐγκρατευομένη τῆς μὴ ἐπιθυμούσης ἐστὶν ἐκ τῶν προωμολογημένων καὶ ἐγκρατευομενης.
ΓΡΗΓ. Ἀληθῆ λέγεις, καὶ ἐπιθυμήσω πληρέστερον ἔτι περὶ τούτων διαλεχθῆναί σοι. εἰ οὖν σοι φίλον, αὔριον ἀφίξομαι πάλιν ἀκουσομένη τούτων. νῦν γάρ, ὡς ὁρᾷς, ὥρα λοιπὸν τραπέσθαι καὶ περὶ τὸ τοῦ ἔξωθεν ἀσχολεῖν ἡμᾶς ἀνθρώπου.

Source. Greek text from the First Thousand Years of Greek project of the Open Greek and Latin project (digital edition of *Methodius* edited by D.G. Nathanael Bonwetsch (Leipzig, J. C. Hinrichs'Sche Buchhandlung: 1917)), encoded in EpiDoc TEI XML. Digitised and corrected by the Open Greek and Latin team (University of Leipzig and partners); the text is taken from the printed edition by OCR with correction, so some errors may remain. SermonIndex has only divided it into short sections for reading; the critical notes, margin notes and apparatus of the printed edition are not shown here but are kept in the XML download.

Licence. Creative Commons Attribution-ShareAlike 4.0 International (CC BY-SA 4.0). You may share and adapt this text if you credit the Open Greek and Latin project and release your version under the same licence.